This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Ga 110.449.90

FROM
THE LIBRARY
OF
JOHN WILLIAMS
WHITE

A GIFT TO
HARVARD COLLEGE
LIBRARY

ARISTOPHANIS

PAX

RECENSUIT, ET ANNOTATIONIBUS, SIGLISQUE METRICIS
IN MARGINE SCRIPTIS, INSTRUXIT

FRIDERICUS HENRICUS BOTHE

LIPSIAE
SUMTIBUS LIBRARIAE HAHNIANAE
MDCCCXXVIII.

Ga110.449.90.

HARVARD COLLEGE LIBRARY
AUGUST 1, 1919
FROM THE LIBRARY OF
JOHN WILLIAMS WHITE

ΥΠΟΘΕΣΙΣ.

Ἤδη τῷ Πελοποννησιακῷ πολέμῳ κεκμηῶτας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδὼν (ἱκανὸς γὰρ διϊππεύκει πολεμούντων αὐτῶν χρόνος) τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις καταθέσθαι μὲν τὴν πρὸς αὐτὰς φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς πρότερον ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργὸν Τρυγαῖον τοὔνομα μάλιστα τῆς εἰρήνης ἀνιποιούμενον· ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία, πευσόμενος παρ᾽ αὐτοῦ, δι᾽ ἣν αἰτίαν οὕτως ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα, τοσοῦτον ποιήσας πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα, τίνα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσει, παρεισάγει τρέφοντα κάνθαρον, ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι᾽ αὐτοῦ Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προσετέτακτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς*) ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ Χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

Φέρεται ἐν ταῖς διδασκαλίαις καὶ ἑτέραν δεδιδαχὼς ὁμοίως Ἀριστοφάνης Εἰρήνην.**) ἄδηλον οὖν φησιν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα, γράφων οὕτως· ἀλλ᾽ οὖν γε ἐν τοῖς

*) sub dio ante domum Trygaei.

**) Rav.: διδασκ. δεδιχ. εἰρ. ὁμ. ὁ Ἀρ. Ald.: διδ., ὅτι καὶ ἑτέραν δεδίδαχεν ὁμ.

Ἀχαρνεῦσιν, ἢ Βαβυλωνίοις, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ· καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν. *)

*) *Ex Brumoei Theatro gr. tom.* 12. *p.* 1. *sequ., ubi tum excerpta ex hac fabula leguntur p.* 3—36., *tum integra est versa p.* 37—138.

Acta est haec fabula anno 13. belli Pelop., quem annum Aristophanes ipse designavit (932.), anno 1. Olymp. 90. (ante Christ. nat. 419.), qua Olympiade non aliam fabulam, quantum scimus, docuit, Dionysiis urbanis, veris initio celebratis (nam peregrinos spectaculo interfuisse patet), [praesertim socios, qui tum tributa solvere solebant. vide 45. sequ. et de tempore anni 762. seqq.] archonte Astyphilo. Eo tempore Athenienses, cladibus nonnullis acceptis, erant admodum afflicti. poëtae igitur propositum hac comoedia edenda fuit, ut a bello persequendo populares abstraheret et ad pacem redderet magis propensos, quae et victoribus et victis aeque erat necessaria. etsi enim, postquam Brasidas et Cleon, qui pacem impediverant, in Thracia prope Amphipolin anno 10. belli Pelop. perierant, Athenienses cum Lacedaemoniis inducias 50 annorum inierant: bellum tamen ipsum nondum erat finitum, imo acrius exarserat, nemoque ignorat, id usque ad Olymp. 93. a. 4., sive ante Christ. nat. 404., durasse, qui fuit ipsius belli annus 28.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΚΕΤΑΙ ΔΥΟ Τρυγαίου.
ΤΡΥΓΑΙΟΣ.
ΚΟΡΑΙ, θυγατέρες Τρυγαίου.
ΕΡΜΗΣ.
ΠΟΛΕΜΟΣ.
ΚΥΔΟΙΜΟΣ.
ΧΟΡΟΣ γεωργῶν Ἀθμονέων.
ΙΕΡΟΚΛΗΣ, μάντις.
ΔΡΕΠΑΝΟΥΡΓΟΣ.
ΛΟΦΟΠΟΙΟΣ.
ΘΩΡΑΚΟΠΩΛΗΣ.
ΣΑΛΠΙΓΚΤΗΣ.
ΚΡΑΝΟΠΟΙΟΣ.
ΔΟΡΥΞΟΟΣ.
ΠΑΙΣ ΛΑΜΑΧΟΥ.
ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.
ΕΙΡΗΝΗ, ΟΠΩΡΑ, ΘΕΩΡΙΑ, κωφὰ πρόσωπα κορῶν.

Ga 110.449.90

FROM
THE LIBRARY
OF
JOHN WILLIAMS
WHITE

A GIFT TO
HARVARD COLLEGE
LIBRARY

Ο.Α. ἑτέραν, ἑτέραν δὸς παιδὸς ἡταιρηκότος·
τετριμμένης γὰρ φησιν ἐπιθυμεῖν.
Ο.Β. ἰδού. —
ἑνὸς μὲν, ὦνδρες, ἀπολελῦσθαί μοι δοκῶ·
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
15 Ο.Α. αἰβοῖ, φέρ' ἄλλην χἀτέραν μοι, χἀτέραν,
καὶ τρῖβ' ἑτέρας γε.
Ο.Β. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὐκ·
οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας.
αὐτὴν ἄρ' οἴσω προσλαβὼν τὴν ἀντλίαν.
Ο.Α. νὴ τὸν Δί' ἐς Κόρακάς γε, καὶ σαυτόν γε πρός.
20 Ο.Β. ὑμῶν δέ γ' εἴ τις οἶδέ μοι κατειπάτω,

11. ἑτέραν. οἱ Ἀττικοὶ καὶ ἐπὶ πολλοῦ λέγουσιν ἑτέραν, ἡμεῖς δὲ ἐπὶ δευτέρας μόνης. ἐπὶ τρίτης οὖν ἑτέρας εἶπεν, ὅλως δὲ ἡ παρατετηρημένη ἐπί τε τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ' Ἀττικοῖς οὐκ ἔστιν, ἡταιρ. ἐπειδὴ ἐκείνων δοκεῖ ἡ κόπρος τετρίφθαι, ὡς ἡταιρηκότων. ἐκ δὲ τοῦ ἑτοίμου προσενεγκεῖν διαβάλλει τοὺς Ἀθηναίους, ὡς καὶ ποιοῦντας τὰ τοιαῦτα καὶ πάσχοντας. S. ἑτέραν, μᾶζαν excrementorum pueri. φησὶν ἐπιθυμεῖν, se appetere significat scarabaeus. *E B.* cf. 699.

13. *uno quidem* crimine, *o viri, solutus mihi videor.* Be.

14. οὐ γὰρ ἄν τις ὑποπτεύσειε διὰ τὸ φύρειν ἐμὲ ἤδη καὶ τὴν κόπρον ἐσθίειν. — εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν. S, Solebant servi inter pinsendum vorare, — hinc iis collare quoddam ligneum circumponebatur collo, ne manus ori admovere possent, quod dicebatur παυσικάκη, a παύειν *prohibere* et κάπτειν *vorare* dictum; de quo Jul. Pollux 7, 20. — *Be.*

15. αἰβοῖ. cf. 1005.

16. μὰ τὸν Ἀπόλλω. τὸν ἀποτρόπαιον, τὸν ἀλεξίκακον, averruncum. cf. 238. Plut. 355. etc.

17. ὑπερέχειν. ἀντὶ τοῦ ἀντέχειν καὶ περιγίνεσθαι τῆς ὁρμῆς, ἀπὸ μεταφορᾶς τῶν πλοίων, οἷς προσφέρεται ἡ ἀντλία (ad quas naves pertinet sentina). καὶ τὸ ἀγγεῖον οὗτος λέγει, ἐν ᾧ ἔφυρα. ἀντλία δὲ ἡ τοῦ πλοίου ἐκροή. καὶ Πισίδης· ἐκ τῶν ἐχόντων τὰς δυσώδεις ἀντλίας. S.

18. *ipsam igitur sentinam* (i. e. mactram, in qua scarabaeo miscet alimenta) *cum turundis tibi afferam*, ut ipse sumas, quantum velis neque me amplius indigeas. recte S. ἀντλίαν intelligit τὸ ἀγγεῖον, ἐν ᾧ ἔφυρα, Soph. Phil. 457., monente Schneidero in lex. gr. v. ἀντλία: ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων, Εἰς ἀντλίαν (in locum, ubi est sentina), εἰς πρῴραν, εἰς πρύμνην —. προσλαβὼν πρὸς ταῖς μάζαις, praeter turundas (i. e. una cum turundis) correptam ipsam tibi mactram afferam. frustra συλλαβὼν Rav. et Suid. v. ἀντλία.

19. ἐς Κόρακας. cf. 117., 490. Plut. 390. ibi S, Dorv.: τόπος ἦν ἐν Ἀθήναις κρημνώδης Κόρακες καλούμενος διὰ τὸ κοράκων εἶναι καταγώγιον, εἰς ὃν τοὺς κακούργους ἐρίπτον ὑπὸ κοράκων ἀναλωθησομένους etc. B.: „ἐς Κόρ. scil. φέρε αὐτήν. sensus: abi cum tua antlia in malam rem," πρὸς, *insuper.* cf. Plut. 997. etc.

20. πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται. S. cf. Ran. 290. etc.

πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον
ἢ καυθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὃς μὲν γάρ, ὥσπερ ἂν χέσῃ τις, ἢ πύωνι
25 φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης,
ὥσπερ γυναικὶ, γογγύλην μεμαγμένην.
ἀλλ', εἰ πέπαυται τῆς ἐδωδῆς, σκέψομαι,
30 τῇδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ. —
ἔρειδε, μὴ παύσαιο μήποτ' ἐσθίων,
ἕως σεαυτὸν ἂν λάθῃς διαῤῥαγείς.
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,

21. μὴ τετρ. διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου, τῶν μυκτήρων ἀποκεκλεισμένων. S.

24. ὥσπερ, *ut*, *quomodocunque*.

25, 26. φαύλως ἐρείδει. συντόμως ἐσθίει. οὕτω γάρ φασιν οἱ Ἀττικοὶ πᾶν ὁτιοῦν συντόμως γινόμενον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων καὶ ἐπερειδομένων ταῖς κώπαις. τὸ δὲ βρενθύεται (v. Schneider. lex. gr. v. βρένθος.) ἀντὶ τοῦ μέγα φρονεῖ. S. Rhes. 729. φαύλως δ' οὐδομεν πεπτωκότες, ubi Musgrav.: „*temere*, *sine cura*, *aut consilio*." deinde laudat hunc locum scholiorum Aristophanis, in quo συντόμως significare ait *festinanter*. eodem verbo utitur Hesych. v. ἔρειδε, apud quem sic scribendum arbitror; ἐρείδεις, συντόμως ἐσθίεις. Photius, monente B., p. 16.: ἐρείδειν τὸ ἐσθίειν σφοδρῶς, ἢ ἄλλο τι ἐνεργεῖν συντόνως. cf. 31. et Suid. h. v. — τοῦτο (*istud*, scil. monstrum. B.) dictum per contemtum, ut Ran. 946., 1234. etc. Voss.; *dieses Ding voll Uebermut Will ekel thun*, *und nicht zu fressen würdigt es* etc.

28. γογγύλην. intelligo μᾶζαν, ut saepius in praegressis. Athen. p. 172., laudante Schneidero in lex. gr. v. γογγύλος: γογγύλας μάζας δι' ὅλης ἡμέρας τετριμμένας καὶ μεμαγμένας. idem recte haec ita reddidit; *ein derbgeknetetes rundes Gerstenbrod*. neque enim cogitandum esse videtur de rapulis (γογγύλαις), quorum similes μάζας mulieres conficere sibi solitas fuisse narrat S., ἵνα μὴ δοκοῖεν πολυφάγοι εἶναι. libenter comedebant illae ejusmodi panes rotundos.

30. παρ. ὀλίγον διανοίξας τὴν θύραν —. S. de genitivo vid. Matth. gr. gr. §. 356. proprie significat τὶ τῆς θύρας; partem januae, velut dicas alteram forem seu valvam.

32. ita Dawes. Misc. crit. p. 274., Br., alii. codd. τέως, ἕως σαυτὸν λάθῃς διαῤῥαγείς. Dawes. l. l.: „Utrumque τέως et ἕως nusquam alias ap. poëtas Att. in eadem sententia legitur; sed neque ἕως cum forma subjunctiva absque ἂν conjungitur."

33. οἷον δὲ κύψας. διὰ τοῦ σχήματος ἀδηφαγίαν αὐτοῦ δηλοῖ. S. vesci ait scarabaeum, et velut adoriri turundas stercoris, submisso capite, ut athletam, non enim κατὰ τὸ ἐσθίειν καὶ παραβάλλειν τοὺς γομφίους scarabaeus comparatur athletae, sed κατὰ τὸ κύπτειν, quemadmodum nautis, qui rudentes expediunt, similis

ὥσπερ παλαιστὴς, παραβαλὼν τοὺς γομφίους·
35 καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
μιαρὸν τὸ χρῆμα, καὶ κάκοσμον, καὶ βορόν!
χὥτου πότ' ἐστὶ δαιμόνων ἡ προσβολὴ,
40 οὐκ οἶδ'· Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
οὐ μὴν Χαρίτων γε.

Ο. Α. τοῦ γάρ ἐστ';

Ο. Β. σὺκ ἔσθ' ὅπως
τοῦτ' ἔστι τὸ τέρας οὐ Διὸς καταιβάτου.

esse dicitur κατὰ τὸ περιάγειν τὴν κεφαλὴν καὶ τὰς χεῖρας. Concion. 893. A. ἢν δὲ κωλύσωσι, τί; B. Ὁμόσ' εἶμι κύψας, h. e. verbis T. Fabri: *j' irai tête baissée vers l'ennemi.*

34. παραβ. injiciens, admovens.

36, 7. ὥσπερ etc. οὕτως, φησὶ, κινούμενος, ὥσπερ οἱ τὰ μεγάλα σχοινία ἐργαζόμενοι τῶν πλοίων ὅλῳ τῷ σώματι καὶ δυνάμει ἐργάζονται. συμβαλόντες. (sic.) συμπλέκοντες. τούτους δὲ ἑκάλουν καὶ σχοινιοσυμβόλους. (σχοινιοσυμβολεῖς, restiones. vid. Pollux h. v.) S. sensus: ita caput et manus (h. e. pedes [brachia], quibus pilulas stercoreas volvit) manducando scarabaeus circumagit, ut qui crassos funes in usum navium onerariarum contorquent. χρῆμα mox scarabaeus iste dicitur, ut lat. *res.* B.

39. χὥτου πότ' ἐστί. ἐπεὶ ἓν ἕκαστον τῶν ὀρνέων [addendum fuit καὶ ζώων, vel quiddam simile.] ἀνάκειται θεῶν τινι, ὡς τῷ Διΐ, τίνος οὗτός ἐστιν; οὐκ ἔστιν οὖν τῆς Ἀφροδίτης, φησὶν, ἐπεὶ αὕτη μὲν μύροις χαίρει, ὁ δὲ δυσώδης ἐστί. προσβολή. ἡ ζημία, ἡ τοῦ δαίμονος ὀργή. ἀντὶ δὲ τοῦ εἰπεῖν ζῶον, ζημίαν εἶπε, καταρώμενος ἑαυτῷ. S. προσβολὴ a προσβάλλω, quum significat *aggredior*, sive *invado;* quemadmodum, annotante Schneidero in lex. gr. h. v., Antiphon. Tetralog. 2. orat. 3. dixit τὰς θείας προσβολὰς, *poenas divinas*, et Synesius Epist. 57.; εἰ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γενόμενα δι' Ἀνδρονίκου, quae loca laudavit Be. Voss.: *Wem wol der Götter angehört dies Plagevieh?*

42. καταιβάτης τιμᾶται Ζεὺς διὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. — S. Quasi dicas *Jovis in fulmine descendentis*, ut Virg. de pluvia, Eclog. 7, 60. *Jupiter et laeto descendit plurimus imbri.* Jul. Pollux 9, 41. καὶ κατελθεῖν ἔλεγον τὸ βέλος καὶ τὸν Δία τὸν ἐπ' αὐτῷ καταιβάτην. latine dici posse videtur viris doctis *Jupiter Elicius.* (vid. Neapol. ad Ovid. Fast. 3, 328. ipse Florens Christ.: *tale mirum ni fuat Monstrum expiandum prorsus Elicii Jovis.* sed non persuadent.) etiam ipsum fulmen ita dicitur ap. Aeschylum Prom. 359. (367.) ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος, Καταιβάτης κεραυνὸς ἐκπνεῶν φλόγα. Be. vid. ibi Blomf. Διὸς καταιβάτου aram Olympiae commemorat Pausan. Eliac. prior. c. 14. §. 413. est autem Jupiter fulminans dictus pro irato, quemadmodum deos iratos causari solent, cum quid adversi accidit, velut hi servi cruciantur nutriendo pessimo isto animali. Terent. Andr. 4, 1, 39. *nescio; Nisi mihi deos sat scio fuisse iratos, qui auscultaverim.* et Phorm. 1, 2, 24. *memini relinqui me deo irato meo.*

Ο.Α. οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος· Τόδε πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί; — κἄτ' αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τίς φησι παρακαθήμενος·
Δοκέω μὲν, ἐς Κλέωνα τοῦτ' αἰνίττεται,
ὡς κεῖνος ἀναιδῶς τὴν σπατίλην ἐσθίει.—
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
Ο.Β. ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις,
καὶ τοῖσιν ἀνδρίοισι, καὶ τοῖς ἀνδράσι,
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω,
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα·

43. ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι, σκώπτει τοὺς Ἀθηναίους ὡς φιλοκερδεῖς, καὶ φιλοδίκους, καὶ φιλολοιδόρους. φησὶ γὰρ πάντως εἷς τῶν θεωμένων βλέπων τὸν κάνθαρον· πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης; εἶτα ἄλλος ἐλλόγιμος δοκῶν εἶναι λέγει· πάντως τὸν Κλέωνα θέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ. ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους, πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ, ὡς βυρσοπώλης ἦν ὁ Κλέων· αἱ δὲ βύρσαι δύσοσμοι, S. de Ione inter spectatores sedente Palmerius in Exercitatt.: „Ex h. l.," inquit, „inducor ut credam, Dionysiis τοῖς κατ' ἄστυ vernis prodiisse hanc fabulam. nam Lenaeis Liberalibus aderant soli Athenn. eo, quod hieme celebrabantur, quod dixit Aristoph. in Acharn. (507. seqq.): οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων, ὅτι Ξένων παρόντων τὴν πόλιν κακῶς λέγω· Αὐτοὶ γάρ ἐσμεν, ὑπὲρ Ληναίῳ τ' ἀγών. cum igitur hic dicat, Ionem quendam adstare, verisimile est, Liberalibus vernis eam fabulam actam fuisse, quando jam mari aperto navigabant Ionés Athenas. nam, ut ait S. ad fab. Aves: τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια." cf. 297. sequ.

48. *prout ille* (scarabaeus) *impudenter vorat stercus.* S.: τὴν σπατ. ἐσθίει. ἀντὶ τοῦ ἤσθιεν· (male hoc nonnulli probant, quasi Cleon dicatur ἐσθίειν τὴν σπατίλην.) ἀποθανὼν γὰρ ἦν ὁ Κλέων. (quippe interfectus in proelio ad Amphipolin a. Olymp. 88, 4,, sive ante Christ. nat. 423., ut auctor est Thucyd. 5, 10. cf. 628.) σπατίλη δὲ ἡ ἀνθρωπίνη κόπρος. ἢ τὸ ἀπόξυσμα τῶν βυρσῶν τὸ μικρὸν, ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτέων. S. Suidas, laudante Br.: σπατίλη· ἡ τῶν ἀνθρώπων κόπρος· καὶ τὰ μικρὰ δέρματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων. σπατίλη (imo σπάτος: vid. Hesych. h. v.) γὰρ τὸ δέρμα, παρὰ τὸ σπᾶσθαι. σκατοφάγος δὲ ὁ Κλέων, ἐπεὶ βυρσοδέψης ἦν καὶ μετὰ κόπρου τὰς βύρσας εἰργάζοντο. de Cleone cf. 270., Ran. 531. seqq. — Rav. ἀναιδέως, quod Ionicum, ut δοκέω et κεῖνος.

50. τὸν λόγον γε, causam quidem hujus rei, quod nutrimus scarabaeum. possis etiam sic interpretari: *rem dicam; dicam, quid rei sit.* vide Soph. El. 391., 1108., F. A. Wolf. ad Demosth. Leptin. p. 277. ὑποκοριστικοῖς παιδίοις et ἀνδρίοισι utitur per jocum.

53. τοῖς ὑπερ. ἔτι τούτοις, *et hisce, qui etiam plus sunt*, seu *valent, quam viri*, quae est vocabuli ὑπερηνορεῖν significatio propria, sed fere obsoleta, praevalente quidem usu τροπικῷ, quo fastum superbiamque denotat, qua vocis ambiguitate demagogos su-

ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
55 οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
δι' ἡμέρας γὰρ ἐς τὸν οὐρανὸν βλέπων
ὧδὶ κεχηνὼς λοιδορεῖται τῷ Διΐ,
καί φησιν: ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλ-
λάδα. —

60 ΤΡ. ἔα, ἔα!
Ο. Β. σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.
ΤΡ. ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.
Ο. Α. τοῦτ' ἔστι δῆτα τὸ κακὸν αὖθ', ὁ ἐγὼ 'λεγον·
65 τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε.
ἃ δ' εἶπε πρῶτον, ἡνίκ' ἤρχεθ' ἡ χολή,

gillat Aristoph., ὑπερηνορεῖν eos dicens δεικτικῶς, h. e. se efferre, etiamque τοὺς ὑπερτάτους ἄνδρας, quos magistratus intelligit, spernere, et eorum auctoritatem imminuere. Voss.: *Ich aber will dies Wörtchen* (die Sache) *noch den Kindern dort, Und jenen Männlein, und den Männern dort umher, Und auch der Männer Obermännern, anvertraun, Und jenen hoch selbst Die noch übermannenden:* etc. B. ὑπερηγ. verbum est Homericum, quod admodum robustos et viriles, aut nimis superbos indicat, cf. interpp. Hom. Il. 4, 176. et Zonar. 2, 1782.

54. καινὸν τρόπον. καινῷ τρόπῳ. vide Matth. gr. gr. §. 423., nos ad Ran. 343., Soph. Ajac. 1033. etc.

59. τὸ κόρημα. τὸ κόσμητρον, τὸ σάρον, ᾧ εἰώθασιν ἀποκαθαίρειν τοὺς ῥύπους τῶν οἴκων. τὸ δὲ μὴ κόρει (sic libri praeter Rav., Eustath. ad Iliad. ν', p. 951, 42. ed. Rom. = 929, 41. Bas., et Suidam v. κόρημα) ἀντὶ τοῦ ἔρημον οἰκητόρων μὴ ποίει διὰ τὸν πόλεμον. S. annotavit Fl. Chr., eodem sensu ἐκκορηθείης dixisse Menandrum ap. Suid. h. v., i. e. ἄδην ἀπολεσθείης.

62. τί δρασ. ἄρα τί διανοῇ; εἰδιὼν δὲ ταῦτά φησιν ὁ Τρυγαῖος. τοῦτο δὲ ὄνομα κύριον, ὃ ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ, οἱ δὲ λοιποὶ ὡς τὸ Τίμαιος προπαροξύνουσι. S. recte illi, ut opinor: nam derivatur quidem a τρύγη adjectivum τρυγαῖος, sicut a κρήνη κρηναῖος: sed mutari solent accentus substantivorum et adjectivorum, cum usurpantur pro nominibus propriis. vid. Siebelis ad Pausan. p. 267., cui assentior, Ταναός pro Ταναὸς scribendum esse ap. Euripidem El. 382. — Be.: „Soph. in Ajace 586. (557.) ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί; (*quid agis? quid moliris?*) ubi Scholia; ἐπιθυμεῖς δρᾶσαι. sic ἐργασείεις, *facere paras*, ap. eundem in Philoct. 1239. (1163.) sic πολεμησείειν, παραδωσείειν, ἀπαλλαξείειν, omnia ap. Thuc., et in glossis δειπνησείω, coenaturio." B. conferri de hac re jubet Dawesium Misc. p. 260.

63. ἀντὶ τοῦ ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις. (cf. Plut. 770.) ἐκκοκκίσας δὲ ἐρημώσας, ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους καθαιρομένων. — Voss.: *Nicht merkst du selber, wie du die Städt' hast ausgehülst.*

66. χολή, bilis, *furor*, quemad-

πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὐτὸν ἐνθαδί·
πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος
πρὸς ταῦτ' ἀνερρίχᾶτ' ἂν ἐς τὸν οὐρανόν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταῤῥυείς.
ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι
εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον·
κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκασε·
καὐτὸς καταψῶν αὐτὸν, ὥσπερ πωλίον,
ὦ Πηγάσιόν μοι, φησὶ, γενναῖον πτερὸν,
ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών. —

modum χολῶν et μελαγχολῶν dicuntur insani: vide Nub. 833., Plut. 12. etc. alio sensu, sed item figurato, vox χολὴ usurpatur Ran. 4.

67. ἐνθαδί, *tum*, cum coepit furere.

68. *utinam recta ad Jovem perveniam.* vid. Matth. gr. gr. §§. 328., 513., et cf. 77.

70. ἀνερρ. τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ καὶ ποσὶν ἀναῤῥιχᾶσθαι φασι. γίνεται δὲ ἐκ τοῦ ἀράχνης ἀραχνιῶ, καὶ ἐν ὑπερβιβασμῷ ἀναῤῥιχῶ. S. laudantur de notatione hujus verbi Etym., Zonar. 1, 206. et Eustath. ad Il. p. 1533., de significatione Moeris 63. sequ. et Thomas Mag. 1, 61. cf. Schneideri lex. gr. h. v. Fl. Chr. vel Scholiastae rationem probandam esse putat, vel „translatum est," inquit, „ἀναῤῥιχῶ a genere illo cophinorum, qui ἄῤῥιχοι dicuntur, quique funibus trahi et duci solent; sunt autem vasa viminea." hoc si verum est, Trygaeus conscensis scalis in altum sublatus esse dicitur, tanquam ejusmodi corbis aegre magnoque cum nisu tracta funibus. — ἀν. ἄν, *reptare solebat.* cf. Plut. 978. etc.

71. ξυν. τῆς κεφ., *caput fregit.* vid. Matth. gr. gr. §. 316. καταῤῥυείς, delapsus. cf. 146. Ovid. Met. 6, 229.: *in latus a dextro paulatim* defluit *armo* etc.

72. ἐκφθαρεὶς. ἐξελθών. οὕτω γὰρ λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν που. S. dicitur etiam εἰσφθείρεσθαι, *male introire*, ut annotavit Fl. Chr.

73. Αἰτναῖον. ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. — ἢ ὅτι οἱ Αἰτναῖοι ἵπποι ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον. — S. hoc aptum. Oppianus, Cyneg. 1, 272., laudante Reisigio ad Soph. Oed. Col. 278: ἵππων ὅσσα γένεθλα τιτήλατο μυρίος αἶα, Ὠκύτατοι Σικελοί. et Gratius Faliscus Cyneg. 524. ludum esse ait Siculis equis per Aetnae montes seferre. si Αἰτναῖον esset ὑπερμεγέθη, poëta non addidisset μέγιστον. sic tamen etiam Sophoclis Schol. erravit, et Be.

74. ἱππ. proprie significat *equum curare*, equisonem esse: vid. Sturzii lex. Xenoph. h. v. erat autem cantharus equi loco futurus Trygaeo. *E B.*

75. κατ. καταπραΰνων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν. πωλίον. πῶλος καὶ ἵππος. πῶλοι δὲ κυρίως τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν. — S.

76. παρὰ τὸ ἐκ Βελλεροφόντου (Eurip.) — ἄγ', ὦ φίλον μοι Πηγάσου πτερόν. S.

77. ὅπως πετ., ὅρα ὅπ. πετ. vide Matth. gr. gr. §. 520., annot. 4., Plut. 322. — εὐθὺ τοῦ Διός. cf. annot. ad 774.

ἀλλ' ὅ τι ποιεῖ, τηδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας! ἴτε δεῦρο, δεῦρ', ὦ γείτονες·
80 ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν εἰς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.
ΤΡ. ἥσυχος, ἥσυχος, ἡρέμα, κάνθων, a. d.
μή μοι σοβορῶς χώρει λίαν,
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος,
85 πρὶν ἂν ἰδίσῃς, καὶ διαλύσῃς
ἄρθρων ἵνας πτερύγων ῥύμῃ·
καὶ μὴ πνεῖ μοι κακόν, ἀντιβολῶ σ'·
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους
αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.
90 Ο.Β. ὦ δέσποτ' ἄναξ, ὡς παραπαίεις!
ΤΡ. σίγα, σίγα! a.
Ο.Β. πόῖ δῆτ' ἄλλως μετεωροκοπεῖς; a. d.
ΤΡ. ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμησάμενος.
95 Ο.Β. τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;

78. τηδὶ, *hic, hoc loco*, δεικτικῶς, dum incipit capite inclinato introspicere. *E B.*

82. S.: — κάνθων κυρίως ὁ ὄνος, νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. — quae vereor ut probari possint, malimque ὡς intelligi in κάνθων, ut Trygaeus cantharum placide incedere jubeat, velut asinum. de ellipsi istius particulae cf. Plut. 294., 312., index Eurip. v. ὡς, *velut* etc.

83. σοβ. *ferociter, audacter.* cf. Phot. lex. v. σοβαρός. *E B.*

85. ἰδίσῃς, ut διαλύσῃς, scribenti Dobraeo obsecutus sum; cujus videnda annot. ad Conc. 625. vulgo ἰδίῃς. sed S.: πρὶν ἱδρώσῃς. οἱ γὰρ ἵπποι οὐκ εἰσὶν ὀξεῖς ἐν τῇ ἀρχῇ εἰς τὸν δρόμον, καμόντες δὲ καὶ ἱδρώσαντες ὀξύτεροι γίνονται. B.: priusquam sudaveris et solveris artuum nervos alarum motu vehementi.

87. ἐκ γὰρ τῆς ἀναπνοῆς καὶ τοῦ ἀέρος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. — S.

88. εἰ δὲ ποιήσεις, *sin hoc debes facere;* sin opus est, ut hoc facias. cf. Plut. 1023.

90. ὦ δέσποτ' ἄναξ. διὰ τὸ μετάρσιον αὐτὸν ἠρθαι, καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ, θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ, ἄνακτα εἰπών. S. videtur hoc esse ex aliqua tragoedia. Be.: παρακ. (deliras). In Plut. 504. ληρεῖν καὶ παραπαίειν.

92. μετ. ποῦ δὴ περὶ τὰ μετέωρα πέτῃ, καὶ μάτην ὡς ἔτυχε κάμνεις; μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ πλάτῃ τῆς κώπης τὴν θάλατταν συγκόπτειν. S.

94. καλ. μηχανησάμενος καὶ ἐγχειρήσας, ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν. S. Phot., monente B., παλαμᾶσθαι, τεχνάζεσθαι.

95. τί οὐχ ὑγιαίνεις; *cur non es sanus?* paulo modestius dictum est quam antea ὡς παραπαίεις, ne herus liberiore dicto servuli offendatur. ceterum cf. Plut. 360. etc.

ΤΡ. εὐφημεῖν χρὴ, καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν·
τοῖς τ' ἀνθρώποισι φράσον σιγᾶν,
τούς τε κοπρῶνας καὶ τὰς λαύρας
100 καινᾶς πλίνθοισιν ἀνοικοδομεῖν,
καὶ τοὺς πρωκτοὺς ἐπικλείειν. a. par.
Ο. Β. οὐκ ἔσθ' ὅπως σιγήσομ', ἢν μή μοι φράσῃς, i. tr.
ὅποι πέτεσθαι διανοεῖ.
ΤΡ. τί δ' ἄλλο γ' ἢ
ὡς τὸν Δί' ἐς τὸν οὐρανόν;
Ο. Β. τίνα νοῦν ἔχων;
105 ΤΡ. ἐρησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
ἁπαξαπάντων, ὅ τι ποιεῖν βουλεύεται.
Ο. Β. ἐὰν δὲ μή σοι καταγορεύσῃ;
ΤΡ. γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.
Ο. Β. μὰ τὸν Διόνυσον, οὐδέποτε ζῶντός γ' ἐμοῦ.

96, 7. εὐφ. χρή. faustis eum verbis uti jubet. cf. Plut. 753., Nub. 263. S.: φλαῦρον, ἀναιδῆς, δύσφημον, φλύαρον. ὀλολύζειν, τὸ μετὰ κραυγῆς εὔχεσθαι. B.: „φλαῦρον est i. q. κακὸν, *infaustum*; et consulto utitur verbo γρύζειν (muttire, hiscere: vide Ran. 864. [Plut. 17, 450.] et Zonar. 1, 456.), quia vel una voce tenui poterat sinistrum edi omen." γρύζειν, ὀλολύζειν. sonus similis, ridiculi causa usurpatus.

98. σιγᾶν, tacere, *favere linguis*, εὐφημεῖν.

99. λαυρὰς (sic) ἐκάλουν τὰς στενὰς ῥύμας, ἔνθα πᾶσα ἀκαθαρσία ἦν. (proprie λαῦρα est πλατεῖα ῥύμη, δι' ἧς ὁ λαὸς παρέρχεται: Zonar. 2, 1286., Phot. p. 153. h. l. vertitur *cloacas*, ut κοπρῶνες sunt *fimetia*. B.) τοὺς ῥυπαροὺς οὖν τόπους ἀποφράξαι παρακελεύεται, καὶ τοὺς κοπρῶνας, ἵνα μὴ ἐρεθίσωσι τὸν κάνθαρον καὶ καταστάσωσι πάλιν δυσωδίαν πνέοντα. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτα λέγει. S.

100. *recentibus lateribus instaurare cloacas*, ne foetore nares laedant (et scarabaeum alliciant). B.

102. σιγήσομ'. elisum αι, ut 432., 470., Ran. 648., Soph. Philoct. 1027. etc. cf. Matth. gr. gr. §. 44.

104. νοῦν, mentem, consilium.

106. ἁπαξ., ut Plut. 111.

107. γράψομαι, κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων, λέγων καὶ τοῦ Διὸς κατηγορήσω, ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. (id facere videbatur Jupiter, vastari atque desolari sinens Graeciam diuturno bello, ut facilis praeda esset hostium.) τοῦτο δὲ λέγει, ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ. S. male, siquidem prima inter eos icta sunt foedera 20. anno ejus belli (Olymp. 91, 4., ante Christ. nat. 412.), ut monet Palmer. secundum Thuc. 8, 87. cf. argum. fabulae annot. **)

109. Bacchum invocat, ut praesidem ludorum. cf. 267., 432.

110 ΤΡ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'.
Ο. Β. ἰοὺ, ἰοὺ, ἰού!
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα·
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα!
ΚΟ. ὦ πάτερ, ὦ πάτερ, ἆρ' ἔτυμός γε da. t.
115 δώμασιν ἡμετέροις φάτις ἥκει,
ὡς σὺ μετ' ὀρνίθων, προλιπὼν ἐμὲ,
ἐς Κόρακας βαδιεῖ μεταμώνιος;
ἔστι τι τῶνδ' ἐτύμως; εἰπ', ὦ πάτερ, εἴ τι φιλεῖς
με. hexam. her.
ΤΡ. δοξάσαι ἐστὶ, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθομαι ὑμῖν,
120 ἡνίκ' ἂν αἰτίζητ' ἄρτον, πάππαν με καλοῦσαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.

110. παρὰ ταῦτ' ἄλλα, *alia praeter haec*, quae dixi. formula, quae etiam Nub. 700. legitur, ut Be. annotavit. S.: οὐκ ἔστιν, ἄλλως γενέσθαι, εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς.

117. ἐς Κόρ. cf. 19. μεταμ. μάταιος, ἀνεμοφόρητος, ἀχρεῖος. gl. Victor. et μεταμώνιος et μεταμώλιος usitatum fuisse monet B., sed antiquiorem formam esse μεταμώνιος: qua de re laudat Heyn. ad Hom. Iliad. 4, 363. et Tittmann. ad Zon. 2, 1349. cf. Schneideri lex. gr. v. μεταμώνιος. S.: ἐς Κόρ. δέον εἰπεῖν εἰς οὐρανόν. — ἅμα δὲ καὶ ἐφ' ὕβρει· ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες.

119. δοξ. ἀντὶ τοῦ ὑπονοῆσαι, εἰκάσαι. S. *conjicere hoc licet, filiolae;* ita est. τὸ δ' ἐτήτυμον etc.: *nam revera crucior, quando me panem poscitis* etc. δὲ causale illustrat Hermann. ad Viger. annot. 343. b. cf. index Eurip. h. v. — ὑμῖν additum familiariter.

120. αἰτίζειν pro αἰτεῖν etiam Hom. Il. 17, 222. legitur. B. item Odyss. 19, 273. cf. lexica h. v.

121. ᾖ Suid. MS. in ψακάς: ᾖ, forte omisso ι subscripto. ceteri libri mendose ἦν. vide Matth. gr. gr. §. 521. Clarissimus Schäferus Melet. crit. p. 109.: „Millies," inquit, „iota adscriptum in ν abiit" etc. cf. Jacobs indice Anthol. Palat., nos ad Soph. Oed. Col. 1395. S.: ψακάς, τὸ μικρότατον, ὃ καὶ νιφὰς καλεῖται. ἀντὶ τοῦ μηδὲ ὀβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. Suid. MS. ψεκάς, quod tantundem valet; sed per errorem, ordine alteram formam poscente, ut monet Dobr.

122. ἐν ὥρᾳ, *in tempore*, maure. cf. Vesp. 242., Conc. 418.

123. κολλύρα τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασιν. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον εἰ δὲ οἶνον αἰτεῖ, κόνδυλον αὐτῷ δὸς ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. S.

123. monet K. ad Suid. 2. p. 237. v. κάνδυλος Aristophanem pro κάνδυλον praeter expectationem dixisse κόνδυλον. „est autem," inquit Fl. Chr., „κάνδυλος cibus ex lacte et melle, quibus addunt quidam oleum et caseum." cf. Schneider. lex. gr. v. κάνδυλ-

ΚΟ. καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται; i. tr.
125 ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.
ΤΡ. πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.
ΚΟ. τίς δ' ἡ 'πίνοια σοῦστιν, ὥστε κάνθαρον
ζεύξαντ' ἐλαύνειν εἰς θεοὺς, ὦ παππία;
ΤΡ. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
130 μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.
ΚΟ. ἄπιστον εἶπας μῦθον, ὦ πάτερ, πάτερ,
ὅπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς.
ΤΡ. ἦλθεν κατ' ἔχθραν ἀετοῦ πάλαι ποτὲ
ὥ' ἐκκυλίνδων, κἀντιτιμωρούμενος.
135 ΚΟ. οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερον,
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
ΤΡ. ἀλλ', ὦ μέλ', ἄν μοι σιτίων διπλῶν ἔδει·

λος. Etymologus p. 528. et Zonaras 2, 1231. sequ. idem esse putant κόνδυλον et κάνδυλον, pugnum, ut annotavit B. videtur sane cogitasse Arist. proverbium illud, cujus mentio est ap. Schol. ad versum praegressum.

126. οὐ ναυσθλ. οὐ νηὸς ἐπιβήσομαι. κυρίως δὲ τὸ ναῦς μισθώσασθαι. λέγεται δὲ καὶ πετεινόν καὶ πτηνόν. πῶλον δὲ λέγει τὸν κάνθαρον. S. ναυσθλοῦν dicebatur pro ναυστολεῖν, navigare. Phot. lex. p. 212. B.

127. ἡ 'πίνοια, cogitatio, consilium.

128. bene monet Fl. Chr., ζευγνύναι h. l. et 135. nihil aliud esse quam *sternere*, *anschirren*. Fl. Chr.: ὦ παππία. haec vox ὑποκόρισμα est φιλοφρονητικὸν, qua usus est Philippus Comicus in Philyra (Athen. 8. p. 358. sequ. ed. Cas.): παππία, βούλει δραμὼν Εἰς τὴν ἀγορὰν καταγοράσαι μοί; φράζε τί; (κατ. μοι (φράζε) τι;) etc.

129. sequ. ἐξηυρ. aoristus significatione praesentis. vid. Matth. gr. gr. §. 506. S.: φέρεται γὰρ ἐν τοῖς αὐτοῦ (Aesopi) μύθοις, ἐχθρεῦσαι αἰετὸν καὶ κάνθαρον, καὶ ἑκάτερον αὐτῶν θατέρου τὰ ὠὰ διαπᾶν. μόνος πετ. ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς νεοττοὺς τοῦ κανθάρου, καὶ ὁ κάνθαρος τοῦ ἀετοῦ τὰ ὠὰ ἐκκλέψας ἐξεκύλισεν ἕως τοσούτου, ἕως οὗ ἦλθε πρὸς τὸν Δία. κατηγορουντος δὲ τοῦ ἀετοῦ προσέταξεν αὐτῷ ὁ Ζεὺς ἐν τῷ αὐτοῦ τοῦ Διὸς κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ὠὰ εἶχεν ὁ Ζεὺς, περιΐπτατο τὸν Δία ὁ κάνθαρος· ὁ δὲ ἐκλαθόμενος ἀνέστησεν ἐκ τῆς κεφαλῆς, ὡς ἀποσοβήσων αὐτὸν, καὶ κατέαξε τὰ ὠά. commemorat eam fabulam Aristoph. etiam Vesp. 1486., ubi vid. Be. inde ortum proverbium κάνθαρος ἀετὸν μαίεται, quod verbose explicat Erasmus in Adagiis, pagg. 751. et seqq. ed. Rob. Stephani.

131. ὦ πάτερ, πάτερ. repetitio indignantis, ut ὦ κύον, κύον Vesp. 1443., Ἄρες, Ἄρες βροτολοιγὲ ap. Homerum etc.

134. ὦ' ἐκκ. τὸ πλῆρες ὠά. S.

136. τραγ. tragoediis materia fuit Pegasus, quo vecti sunt Perseus, de quo Eurip. in Andromeda dixerat, et Bellerophontes, de quo in cognomini dramate, quo hic praecipue respicit. Be.

137. ita Dindorf. et h. l. et 374. Rav., ut Br.: ὦ μέλε, sine elisione, qua cur non utamur, velut Conc. 246., haud intelligo. 2 Pariss. ὦ μέλε. vulgati olim libri ὦ μελέα, μοι. S.: ὦ μελέα. δυί-

νῦν δ' ἅτ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
140 ΚΟ. τί δ', ἢν ἐς ὕργὸν πόντιον πέσῃ βάθος;
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;
ΤΡ. ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.
ΚΟ. λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
145 ΤΡ. ἐν Πειραεῖ δήπου 'στὶ Κανθάρου λιμήν.
ΚΟ. ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταῤῥυῇς
ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ

κῶς. λέγει δὲ πρὸς ἄμφω τὰ παιδία. ita uterque sexus compellatur: vide 259. etc. ἀλλ', igitur, ut Thuc. 1, 26. ἀλλὰ στρατεύουσι etc.

141. πῶς διανήξασθαι δυνήσεται; ἐπεὶ τὰ πλεῖστα τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ νήχεσθαι οὐ δύναται. διαβάλλει δὲ τὰ περὶ Ἰκάρου τῶν Τραγικῶν λεγόμενα. S.

142. εἶχον. habebam et habeo. vid. Matth. gr. gr. §. 505. sequ. et cf. infra 511., 595. S.: πηδάλιον. τὸ αἰδοῖον δείκνυσι παίζων. joco simili Lucianus Verae Hist. c. 45.: μετ' ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τρόπῳ ναυτιλίας χρωμένους· αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν. λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον· ὕπτιοι κείμενοι ἐπὶ τοῦ ὕδατος, ὀρθώσαντες τὰ αἰδοῖα (μεγάλα δὲ φέρουσιν), ἐξ αὐτῶν ὀθόνην πετάσαντες, καὶ ταῖς χερσὶ τοὺς ποδεῶνας κατέχοντες, ἐμπίπτοντος τοῦ ἀνέμου, ἔπλεον.

143. Ναξ. κάνθ. πλοῖα ἦν οὕτω λεγόμενα, κάνθαροι, ἐν Νάξῳ γινόμενα τῇ νήσῳ. καὶ Κνιδουργεῖς δὲ ἄλλας ναῦς (intell. ἐκάλουν) ἀπὸ Κνίδου, καὶ τὴν Κέρκυρον ἀπὰ Κερκύρας, καὶ τὴν Πάρωνα ἀπὸ Πάρου. S. Κορινθιουργὴς memoratur ap. Athen. 5. p. 199., monente Porsono Advers. p. 129. Br.: Jocus in ambiguitate significationis. — Athen. p. 478. (lib. 11. p. 251. t. 4. Schweigh. ed.): κάνθαρος. ὅτι μὲν πλοῖον ὄνομα κοινόν. ὅτι δὲ (imo κάνθαρος ὅτὲ μὲν πλ. ὄν. κοινὸν, ὅτὲ δὲ, modo, modo: vid. Herm. ad Viger. annot. 258.) καὶ ποτήριόν τι οὕτω καλεῖται etc.

144. φορ., in alto jactatum.

145. δήπου, scilicet. cf. Plut. 487. S.: ὁ Πειραεὺς λιμένας ἔχει τρεῖς, πάντας κλειτούς. εἷς μὲν ὁ Κανθάρου λιμὴν, οὕτω καλούμενος ἀπό τινος ἥρωος Κανθάρου, ἐν ᾧ τὰ νεώρια, εἶτα τὸ Ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαί, ἑ. — v. Meursii Piraeeum c. 3. Br. Dobr.; Seeunda in Πειραεῖ corripitur. εἰς Δῆλον ἐλθεῖν ἠθέλησ' ἐκ Πειραιῶς Criton ap. Athen. 4, 22. p. 173. C. Alexis ibid. p. 562. ceterum forma Πειραεῖ, quam habent edd., certe 3 primae cum K. Br. et Invern., recentiorum Graecorum esse videtur. eam Hesychio v. ζέα e MS. restituendam censet Porsonus. de Πειραιεὺς vide Gaisford. ad Hephaest. p. 216. et adde Philisci versum ap. Holsten. ad Steph. Byz., Salmas. ad Solin. p. 425, 1, C. ὁ Πειραιεὺς κάρυον μέγ' ἔστι καὶ κενὸν in Jacobsii Anthol. Palat. t. 2. p. 445. (cf. Jacobs. cum illic, tum in Additam. ad Athen. p. 113.)

146. κατ. cf. 71. „σφαλ., ubi impegeris. Phot. lex. p. 106.: καταῤῥυῆναι· καταπεσεῖν." B.

147. — ἀποτείνει πρὸς Εὐριπίδην, ὃς ἐν δράματι χωλὸν εἰσάγει τὸν Βελλεροφόντην διὰ τὸ πεπτωκέναι ὑπὸ (ἀπὸ) τοῦ Πηγάσου. S. idem ad Ran. 799. (871.) τὸν χωλοποιόν. διὰ τοὺς τρεῖς, Βελλεροφόντην, Φιλοκτήτην, Τήλεφον.

λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ' · ἀλλὰ χαίρετε.
ὑμεῖς δέ γ', ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε, μηδὲ χέζεθ' ἡμερῶν τριῶν,
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κατωκάρα ῥίψας με βουκολήσεται.
ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων; a. d.
χρυσοχάλινον πάταγον ψαλίων
διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς; τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
ἴει σαυτὸν θαῤῥῶν ἀπὸ γῆς,
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων

148. λόγον, *materiam sermonum.*

149. his dictis dimittit pater filias, quae e scena abeunt. tum Trygaeus ad spectatores se convertit, eosque jubet non linguis, sed alia corporis parte favere. B. similiter 98. et 157. seqq.: adeo iste jocus placuit Aristophani, non meliori illi saepe aliis Comicis, quos deridet.

151. ἡμ. τριῶν, triduum. vid. Matth. gr. gr. §. 378, 2.

153. κατ. κατωφερῶς· ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται Ἀττικῶς ὑφ' ἕν. (Phot. lex. p. 112.: κατωκάρα· κάτω τὴν κεφαλὴν ἔχοντα. B.) βουκ. ἀπατήσεται. καὶ βουκόλημα τὸ θέλγητρον, ὡς τὸ χόπως ἔχῃ τι βουκόλημα τῆς λύκης, Ἀνέθηκε τοῖς χοιροποιοῖς λάγραφας ζώων. S. ita hos choliambos scribendos esse vidit Fl. Chr., cum in libris legatur καὶ ὅπως et τοῖς τοίχοις. Babrii non inepte esse censet. cf. Tyrwhitti dissert. de Babrio p. 55., ubi quod suadet in his versibus ἐνέθηκε videtur esse minus necessarium.

154. μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, παρακελεύεται αὐτῷ. — B.

155. χρυσοχαλινῶν Suid. MS. in φαλλίοις. χρυσοχάλινον justo ποιητικώτερον videri cupiam potest in Comico, nec tamen ex tragoedia esse constat. χρυσοχαλίνων pridem Florenti Chr. placuit et Berglero, nec sane desunt exempla permutatarum inter se litterarum ο et ω, quemadmodum ap. Eurip. Suppl. 55. scribendum esse videtur λαΐνων τάφων pro λάϊνον τάφον, et contra Heracl. 33. καθεζώμεθα scriptum est in libris pro καθεζόμεθα. cf. Orest. 680., Rhes. 843., Jacobs. Anthol. Palat. 3. p. 454., infra quoque 241.

156. διακιν., permovens, movens per aërem. vel αὐξητικὸν est διά. S.: φαιδροῖς. πραέσι, μὴ ὀρθοῖς. τοῦτο γὰρ πάσχουσιν οἱ ἵπποι, ὥσπερ παροξυνόμενοι εἰς ἄκρατον δρόμον. at recte Fl. Chr.: „arrigunt," inquit, „aures equi, cum ad currendum incitantur." malit igitur ὀρθοῖς, μὴ πραέσι, quod ineptum. scribendum πραέσιν ἢ ὀρθοῖς, siquidem ὀρθὰ sunt ὦτα ἵππων πραέων, nec raro fit, ut μ et ν litterae permisceantur: velut ἅμα μνήσθητι pro ἀναμνήσθητι legebatur olim ap. Tatium 129, 2. ed. Jacobs. cf. Porson. ad Eurip. Hecub. 369. etc.

158. τὰς λαύρας. cf. 99.

ὀρθῶς χώρει Διὸς εἰς αὐλάς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπὸ δ' ἡμερινῶν σίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
165 ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ', ἀπολεῖς. οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλὴν,
κἀπιφυτεύσεις ἔρπυλλον ἄνω,
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν
170 ἐνθένδε πάθω, τοῦ 'μοῦ θανάτου
πέντε τάλαντ' ἡ πόλις ἡ Χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει. a. par.
οἴμ', ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω! i. tr.

163. ἡμερ. quotidianorum, vulgarium. — ἡμερινῶν σίτων πάντων. homoeoteleuton parum elegans. malim πάντως, qui ν et ς saepius confusa sciam in codd.; qua de re vidd. indices Sophoclis atque Euripidis.

164. fingit videre aliquem in Piraeeo, dum ad aethera evehitur.

165. παρὰ ταῖς π. πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπορεῖον γάρ ἐστι, καὶ διὰ τὸ κατωφερὲς (propensionem ad id, libidinem scortandi) τῶν ναυτῶν ἐκεῖσε ἔτρεχον αἱ πόρναι. S.

166. ita Br. ex 2 codd., ut Soph. Trach. 953. Vatic. et Palat. ἀπολεῖς, ἀπολεῖς, sini pronomine. Eurip. Cycl. 535. ἀπολεῖς· δὸς οὕτως. *enicas; da sic.* cf. Ran. 1180., Plut. 386. S.: οὐ κατορ. οὐ συγχώσεις καὶ ἀποκρύψεις τὴν σαυτοῦ κόπρον;

167. τῆς γῆς πολλήν. genitivus partitionis, ut 225. vide annot. ad Plut. 689. et Matth. gr. gr. §. 353., §. 442, 2.

168. ἔρπυλλον est thymus serpyllum Linn., *Quendel*, *wilder Thymian*, *Feldkümmel*. v. Voss. ad Virg. Eclog. t. 1. p. 59. B. „λευκὸς θύμος Theophr., *candidus* Plin. (20, 22.) Dioscor. 3, 46. ἔρπυλλον, serp. *hortense*, odore sampsuchi. (*das eigentliche officinelle Serpyllum*, *Feldkümmel*.) in montibus Graeciae, Cretae, in Olympo Bithyniae. Sibthorp. "Billerbeck. Flor. class. p. 158. S.: ἔρπυλλον. εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει. (?)

169. καὶ μύρον ἐπ.; καὶ ἐπιβάλλεις μύρον εἰς αὔξησιν, διὰ τὸ τελέως ἀφανισθῆναι τὴν ὀσμήν. S. Be.: ἤν τι — πάθω. per euphemismum: *si delapsus hinc moriar.* —

171. ἡ πόλις ἡ Χίων. τοῦτο ὡς ἐκ παροιμίας, (Χῖος ἀποπατῶν, de quo proverbio vidd. Erasmus et paroemiographi.) τῶν Ἀθηναίων ἐκ προφάσεως συκοφαντούντων, καὶ ζημιούντων τὰς πόλεις (civitates socias), καὶ λεγόντων, ὅτι Χῖος ἦν ὁ ἀποπατῶν, καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἐπὶ τὴν ὀσμήν. κωμῳδεῖ δὲ Χίους ὡς εὑρυπρώκτους ὄντας καὶ ἑτοίμους πρὸς τὸ ἀποπατεῖν. S. Fl. Chr.: — „de Chiorum spurca licentia notum illud, quod a Plut. refertur in Laconicis dictis (ed. Reisk. t. 6. p. 867.), τοῖς Χίοις ἐφιᾶσιν ἀσελγαίνειν." — omnino Chii perhibebantur improbi et impudici: cf. Ran. 921.

173. κοὐκ. σκ. λέγω. τουτέστιν ἀληθῆ λέξω, ἐπεὶ τὰ πρῶτα διασύρειν δοκεῖ τὸν Βελλεροφόντην. πρὸς δὲ τὸν ἐν θεάτρῳ μηχανο-

ὦ μηχανοποιὲ, πρόσεχε τὸν νοῦν ὡς ἐμὲ·
175 ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλὸν,
κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ·
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός. —
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;
180 ΕΡ. πόθεν βροτοῦ με προσέβαλ'; ὦ ''ναξ Ἡράκλεις,
τουτὶ τί ἐστι τὸ κακόν;
ΤΡ. ἱπποκάνθαρος.
ΕΡ. ὦ μιαρὲ, καὶ τολμηρὲ, κἀναίσχυντε σὺ,
καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε·
πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;
185 τί σοί ποτ' ἐστ' ὄνομ'; οὐκ ἐρεῖς;
ΤΡ. μιαρώτατος.
ΕΡ. ποδαπὸς τὸ γένος εἶ; φράζε μοι.
ΤΡ. μιαρώτατος.
ΕΡ. πατὴρ δέ σοι τίς ἐστιν;
ΤΡ. ἐμοί; μιαρώτατος.

ποιὸν φησι. S. Nempe scarabaeus ille, super quo vehebatur, erat machina scenica, cujus directorem nunc alloquitur. *Be.* Vere metuit, [imo fingit se metuere,] ne cum machina delabatur. mox ὡς ἐμὲ Attice est πρὸς ἐμὲ, ut saepe ὡς cum accus. personae legitur. v. Viger. p. 566. B. cf. Plut. 32.

175. ita timet Trygaeus ne cadat, ut luctantibus in ventre flatibus pedere incipiat, ut illa in Pluto 688. ὑπὸ τοῦ δέους βδέουσα. simul de sublimi despiciens vertigine corripitur; quod item ex metu fieri solet et ἰλιγγιᾷν dicitur Graecis. monuit Be.

176. χορτ. τὸν κ. i. e. cacabo, per metonymiam consequentis pro antecedente: scarabaeus enim vescitur stercore. — *Be.*

177. ita Rav. Invern., quod elegantius vulgato ἀλλ' ἐγγύς.

180. βροτοῦ. ἢ ὁσμὴ, ἢ φωνὴ, ἐλλειπτικῶς κατὰ τοὺς Ἀττικοὺς, inquit Schol., nec aliter Br. et Abresch. Anim. ad Aeschylum t. 2. p. 89.; sed facilius τι intelligi monet Schäfer. ad Bos. de Ellips. p. 361. sequ.

181. ἱπποκάνθαρος. vox ficta, monente Be., ut ἱπποκέντανρος et κυκνοκάνθαρος de nave ap. Nicostratum Com. Athen. 11. p. 474. βατραχόκυκνοι scriptum videtur Ran. 207.

183. ὦ βδελυρὲ Suidae edd. v. μιαροί; sed ὦ μιαρὲ MS. et ibi et in τολμῆσαι. eodem vocabulo saepius repetendo infantiam Mercurii notat Comicus; quod magis ridiculum in praeside eloquentiae, vide Plut. 1106. Donatus ad Terent. Eun. 3, 1. 22.: „*Mire est facta nullius ponderis repetitio ad inertiam loquentis exprimendam. nam postquam dixit* invidere omnes mihi, *repetit* illi invidere misere.“ cf. 199., 206.

184. πῶς, *cur*, ut 192., Eurip. Suppl. 134., Ion. 1286.

185. ita Suidas. Rav. ἐστίν. vulgati libri, invecto septenario: τί σοί ποτ' ἐστὶ τοὔνομ'; οὐκ etc.

ΕΡ. οὔ τοι, μὰ τὴν γῆν, ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἐστί σοι.
190 ΤΡ. Τρυγαῖος Ἀθμονεὺς, ἀμπελουργὸς δεξιὸς,
οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.
ΕΡ. ἧκεις δὲ κατὰ τί;
ΤΡ. τὰ κρέα ταυτί σοι φέρων.
ΕΡ. ὦ δειλακρίων, πῶς ἦλθες;
ΤΡ. ὦ γλίσχρων, ὁρᾷς,
ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος;
195 ἴθι νῦν, κάλεσόν μοι τὸν Δί'.
ΕΡ. ἰὴ, ἰὴ, ἰὴ,
ὅτι οὐδὲ μέλλεις ἐγγὺς ἶναι τῶν θεῶν!
φροῦδοι γάρ εἰσιν ἐχθὲς ἐξῳκισμένοι.
ΤΡ. ποῖ γῆς;
ΕΡ. ἰδοὺ γῆς!

190. Τρυγαῖος. malim Τρύγαιος: vid. annot. ad 62. „Ἀθμονεὺς, ab Athmone, qui δῆμος vel (ut cum A. Gellio loquar) populus est Cecropidos tribus." — *Fl. Chr*, vid. Meursii liber de pagis Att. Pausanias Att. 14. extremo, quem locum significavit Fl. Chr.: δῆμος δέ ἐστιν Ἀθηναίοις Ἀθμονέων, οἳ Πορφυρίωνα ἔτι πρότερον Ἀκταίου βασιλεύσαντα τῆς Οὐρανίας φασὶ τὰ παρά σφισιν ἱερὸν ἱδρύσασθαι. B.: „δεξιὸς omnino ἀγαθὸν, ἐπιτήδειον, significat. v. Zonar. 1. p. 476." cf. Plut. 885. S.: ἐδόκουν γὰρ οἱ γεωργοὶ, καὶ μάλιστα οἱ δεξιοὶ, ἀπραγμοσύνην (h. e. τὸ μὴ πολυπραγμονεῖν) ἀσπάζεσθαι. laudari solent agricolarum mores integri. Eurip. Or. 889. ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία, Μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ, Ὀφιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον, Αὐτουργὸς, οἷπερ καὶ μόνοι σώζουσι γῆν. cf. 498. seqq. —

192. τὰ κρέα. ὅτι κατὰ συστολὴν (κρέᾰ) ἔλεγον, οὐ μόνον ἐν ἐκτάσει (κρέᾱ) τὰ κρέα. (vid. Matth. gr. gr. §. 84, 2.) ὡς πρὸς λίχνον δὲ τὸν Ἑρμῆν ταῦτα λέγει. S. Nempe quia scit, Mercurium esse gulosum, scit se placaturum ejus ferociam oblatione carnium. cf. Plut. extrema. *E Be.*

193. ὦ δειλ., h. e. velut ἄκρως δειλὸς, ut monuit Fl. Chr., *o miselle*, *du armer Schelm*, vel secundum Vossium *Arm Wichtchen*. Br.: Blanda miserentis compellatio. cf. Av. 143. *Br.* vide etiam Plut. 969. — γλίσχρων. ἐπιθυμητὰ, ἀπὸ τοῦ γλίχεσθαι. (sic etiam Suid. h. v.) γλίσχρωνας δὲ τοὺς ἀτυχεῖς εἰώθασι λέγειν, καὶ γλισχρίαν τὴν ἀτυχίαν, καὶ γλίσχρως ὀλισθηρῶς. νῦν δὲ ἐπίπονε. S.

194. vulgo: — μιαρώτατος. sed ὁρᾷς Ran. 1164., ὁρᾷς ὅτι ληρεῖς ibidem 735. et similia passim dicuntur ἐρωτηματικῶς.

195. ἰὴ πρόσθεγμά ἐστι καταφρονοῦντος, ut ait S. aliud est illud ἰὴ infra 443. seqq., de quo exposuit doctissimus Bähr. in annot. ad Plut. Flamin. cap. 16. cf. et quos ibi testes citat, inprimis Sp. ad Callim. h. in Apoll. 21, 24, 98. et Blomf. ad Aeschyl. Agam. 144. glossario.

198. ἰδοὺ γῆς. χλευάζων φησὶν, ὡς ἐν οὐρανῷ αὐτῶν οἰκούν-

ΤΡ. ἀλλὰ ποῖ;
ΕΡ. πόρρω πάνυ,
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
200 ΤΡ. πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
ΕΡ. τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
χυτρίδια, καὶ σανίδια, κἀμφορείδια.
ΤΡ. ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
ΕΡ. Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν,
205 ἵν' ᾖσαν αὐτοὶ, τὸν Πόλεμον κατῴκισαν,
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι,
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
210 ΤΡ. τοῦ δ' εἵνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπέ μοι.
ΕΡ. ὅτι πολεμεῖν ᾑρεῖσθ', ἐκείνων πολλάκις
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο σμικρὸν, ἔλεγον ἂν ταδί·
ναὶ τὼ σιὼ, νῦν Ἀττικίων δώσει δίκην. —
215 εἰ δ' αὖ τι πράξαιντ' ἀγαθὸν Ἀττικωνικοὶ,

των. S. — sic Nub. 873. cum unus dixisset κρέμαιο, alter reprehendens eum repetit eandem vocem: ἰδοὺ κρέμαι' ὡς ἡλίθιον ἐφθέγξατο! E Be.

199. κυττάρους καλοῦσι τὰς τῶν σφηκίων κατατρήσεις· μεταφορικῶς δὲ τὸ κοιλαίτατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ. ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέχρι (imo μέρη) τοῦ οὐρανοῦ. S. — ἀτεχνῶς, plane, prorsus. cf. 206., Plut. 358.

205. τὸν Πόλεμον. daemonem Marti similem. monuit Be., in Acharn. 976. describi B[illegible]m, tanquam militem insolentem.

207. ἀν. ἀντὶ τοῦ ἀπῳκίσαντο καὶ ἀνεχώρησαν, (B.: ἀποικίζεσθαι est in superiorem locum abire habitatum.) ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δυσχερῆ. S.

212. σπονδὰς ποιούντων. τῶν θεῶν πρυτανευόντων ἡμῖν (ὑμῖν) τὴν εἰρήνην ἀεί. S.

213. σμικρὸν dedi pro μικρόν. ἔλ. ἄν, dicere solebant, cf. 70., 217.

214. ναὶ τὼ σιώ. Dorice pro νὴ τὼ θεώ. (cf. interpp. Gregorii Cor. de dialectis p. 300. et 302. ed. Schäfer. B.) intelliguntur h. l. Castor et Pollux, per quos et viri et feminae jurare solebant sp. Lacedaemonios; Athenis autem non nisi feminae jurabant νὴ vel μὰ τὼ θεώ, quippe Cererem et Proserpinam intelligentes. vide Lys. 31., 90., 1110., Ach. 976. E Be. Bisetus: Ἀττικίων ὑποκοριστικῶς εἴρηται, ὡς καὶ ἀπὸ τοῦ μαλακὸς μαλακίων. (cf. Matth. gr. gr. §. 102, 9.) τοῦτο δὲ ἐξουθενήσεως καὶ καταφρονήσεως ἕνεκα.

215. Ἀττικ. οὕτως ἔλεγον εὐτελίζοντες καὶ ἐνυβρίζοντες τοὺς Ἀθηναίους. ἢ πρὸς τὸ Λακωνικὸν (Λακωνικοὶ 212.) ἔπαιζον. S. sane jocatur: nam a Λάκων recte derivatur Λακωνικὸς, non item Ἀττικωνικὸς ab Ἀττικός. vidit hoc Be.

κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθύς· ἐξαπατώμεθα,
νὴ τὴν Ἀθάναν· νὴ Δί', οὐχὶ πειστέον.
ἥξουσι καὐθις, ἢν ἔχωμεν τὴν Πύλον. —
220 ΤΡ. ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.
ΕΡ. ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι
τολοιπὸν ὕψεσθ'.
ΤΡ. ἀλλὰ ποῖ γὰρ οἴχεται;
ΕΡ. ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ,
ΤΡ. ἐς ποῖον;
ΕΡ. ἐς τουτὶ τὸ κάτω· κἄπειθ' ὁρᾷς,
225 ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν;
ΤΡ. εἰπέ μοι,
ἡμᾶς δὲ δὴ τί δρᾷν παρασκευάζεται;
ΕΡ. οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἐσπέρας

218. νὴ Δία ο. π. ἐχρῆν μόνον αὐτοὺς τὴν πάτριον ὀμόσαι (deam patriam Minervam)· ἀλλ' ἐπαίρων τοὺς Ἀθηναίους τοῦτό φησιν, ὡς οὐχ Ἀθηνᾷ μόνῃ χρήσαιντο, ἀλλὰ καὶ Διί. S. imo carpere videtur Athenienses jurare amantes. — vulgo: Ἀθηνᾶν. vid. inprimis Porson. ad Eurip. Or. 26.

219. ἢν ἔχ. τὴν Πύλον. τοῦτο διὰ τοὺς ληφθέντας ἐν Σφακτηρίᾳ τριακοσίους, καὶ διὰ τὸ ἐπιτείχισμα, ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ. ὅτι ληφθείσης αὐτῆς περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευον. S. Pylus insula juxta Peloponnesum et regio Laconicae, olim etiam dicta Coryphasium, et Sphacteria ab occisione illa Lacedaemoniorum in arce pugnantium, duce temerario Brasida, cum trecentos propugnatores accepisset, capta tandem fuit cum trecentis illis a Cleone, qui praeclari facinoris gloriam eripere voluit Demostheni et Niciae, fortissimis ducibus, qui strenue pugnando eam ad incitas redegerant. itaque cum cepissent Pylon Athenienses, (Olymp. 88, 4., ante Chr. nat. 425., belli Pelop. 7. cf. Equ. 55., Thucyd. 4, 3, 14. seqq., 41., Palmer. Exerc. p. 724.) statim Lacedaemonii legatos de pace miserunt. hic Atheniensium tangit superbiam et ferociam in rebus prosperis. *Fl. Chr.* si *Pylum retineamus;* i. e. iterum atque iterum venient, quamdiu Pylum retinebimus. — *Br.* cf. 616., 640.

220. Fl. Chr.: *Atque haec loquendi forma* vestra (*nostra*, scribebat ille ὑμεδαπὸς, omissa scil. Trygaei persona in codd.) *ut plurimum est*. Voss.: *Ja so geprägt ist unserer Worte Landesart.*

225. ὅσους τῶν λίθων. cf. annot. ad 167.

227. erunt fortasse, quibus praeter necessitatem addita esse videatur δὲ particula; sed cf. Plut. 1103. et ibi laudatum Herm. annot. ad Viger. 343. b. hyperbaton hoc est, verbis εἰπέ μοι priore loco illatis emphaseos causa, quae in fine orationis posita, ut 210., nihil habitura essent offensionis.

228. θυεία ἀγγεῖον, εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν καὶ λειοῦμεν. S. ἐσπ. cf. 151.

ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
230 ΤΡ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;
ΕΡ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι· καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
μέλλει· θορυβεῖ γοῦν ἔνδον.
ΤΡ. οἴμοι δειλαίος!
φέρ', αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾠσθόμην
235 καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.
ΠΟ. ἰὼ βροτοί, βροτοί, βροτοὶ πολυτλήμονες,
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε!
ΤΡ. ὦ ναὶ Ἄπολλον, τῆς θυείας τοῦ πλάτους!
ὅσον κακὸν καὶ τοῦ Πολέμου τοῦ βλέμματος!
240 ἆρ' οὗτος ἔστ' ἐκεῖνος, ὃν καὶ φεύγομεν,
* ὁ δεινός, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;
ΠΟ. ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι, καὶ πεντάκις,

232, 3. γνώμην ἐμήν. γνώμῃ ἐμῇ, *ut opinio mea est.* vid. Matth. gr. gr. §. 423, 5. δείλαιος correpta media, ut Plut. 846.

234. νοεῖν δεῖ, τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. S. φέρ', α. ἀπ. *age*, *effugiam eum*, scil. Πόλεμον. — B. haec dicens Trygaeus respicit scarabaeum, et fugam parat. ὥσπερ pertinet ad θυείας.

236. — ἐξιόντων τῶν ὑποκριτῶν ὁ Πόλεμος ἐξέρχεται (fort. ἐσέρχεται; cf. S. ad 62. etc.), θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὐτοῦ ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος καὶ πράσων. S.

237. τὰς γν. ἀλγ. τριβόμενοι ἐν τῇ θυείᾳ. (cf. 231., 246.) ἢ τοῦτον τὸν μυττωτὸν ἐσθίοντες. ἢ ἐπεὶ πολέμου ὄντος ἀργεῖ τὰ δικαστήρια, ἀντὶ τοῦ εἰκεῖν λιμώττοντες. (?) S.

238. Ἀπ. ἀποτρόπαια. cf. 16.

239. h. e. ὅσον κακὸν καὶ τοῦ βλέμμ. τοῦ Πολ.! *quantum vel in solo adspectu Belli inest mali seu terroris!* sic membr. Paris. et procul dubio Rav., nisi quod fieri potest, ut forte scriptum in illo sit τὸ βλέμματος pro τοῦ βλέμματος.

241. ταλ. ὑπομονητικός, καρτερικὸς ἐν τῇ μάχῃ. S. Acharn. 975. de Lamacho, ut monet Be.: ὁ δεινός, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα Πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους. — ὁ κατὰ τοῖν σκελοῖν. affecta: neque enim audiendus est Br., qui ἑστώς, βεβηκώς, vel quiddam simile, supplendum putat, quasi mirum sit, Bellum pedibus incedere. Fl. Chr. tentabat καταξ, „i. e. κατεαγώς," inquit: „nam etiam latine *catax* dicitur claudus. (vid. Festus p. 70. ed. Dacer., Non. 1, 100. et Isidori gloss. B.) neque hoc repugnat ταλαυρινῷ: nam claudi sunt ὑπομονηνικώτεροι in pugna, (?) vel teste Tyrtaeo. tamen ambigo" etc. scribendum videtur apta sententia, facilique mutatione (vid. annot. ad 155.), ὁ ταλαυρινὸς, ὦ, κατὰ τοῖν σκελοῖν, *ille, qui firme, heu, insistit pedibus*, nec retrocedit. Tyrtaeus eleg. 1. in fine: ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι Στηριχθεὶς ἐπὶ γῆς, χείλος ὀδοῦσι δακών.

242. Πρασιαί. πόλις Λακωνική. ἅμα δὲ πράσον ἐμβάλλων ταῦτά φησιν. S. Prasiae urbs Laconica in finibus Epidauriorum τῶν Δι-

καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον!
ΤΡ. τουτὶ μὲν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω·
245 τὸ γὰρ κακὸν τοῦτ' ἔστι τῆς Λακωνικῆς.
ΠΟ. ἰὼ Μέγαρα, Μέγαρ', ὡς ἐπιτρίψεσθ' αὐτίκα
ἁπαξάπαντα καταμεμυττωτευμένα!
ΤΡ. βαβαὶ, βαβαιὰξ, ὡς μεγάλα καὶ δριμέα
τοῖσι Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα!
250 ΠΟ. ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι!
οἵα πόλις τάλαινα διακναισθήσεται!
φέρ', ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
ΤΡ. οὗτος, παραινῶ μέλιτι χρῆσθαι θατέρῳ.
τετρώβολον τοῦτ' ἔστι· φείδου τἀττικοῦ.

μήρων vastata et desolata fuit ab Athenn. anno 2. belli Pelop. Thuc. 2. (56.) *Palmer.* minus recte edd.: τρισάθλιαι, sequentibus verbis πεντάκις et πολλοδεκάκις. cf. Plut. 847.

244. πρᾶγμα, negotium, molestia.

246. σκόροδα ἐμβάλλων ταῦτά φησιν· ἡ γὰρ Μεγαρικὴ σκορόδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι' αὐτοὺς δοκεῖ γεγονέναι χάριν τοῦ τὸ πινάκιον συνθέντος κατ' αὐτῶν εἰς τὴν Περικλέους χάριν, ὥστε μήτε (μηδὲ, quae vocabula confundi solent: vid. Porson. passim ad Eurip.) λιμένων Ἀττικῶν ἐπιβαίνειν τοὺς Μεγαρεῖς. (cf. 472., Acharn. 527., 822. H. Voss.) εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους τέλεον. — S. ἐπιτρ. cf. Plut. 120. etc.

248. 9. βαβαὶ βαβαιάξ. σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα, παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα· — τοῖς γὰρ ἐσθίουσι σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. S.

250. τυρὸν βάλλων Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. μέρος δὲ ταύτης πολέμιον ἦν Ἀθηναίοις· ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἥττων. S. in transitu Assinari fluminis. [multo tamen serius, a. 19. belli Pelop. B.] nam et aqua, ut ait Thuc. [7, 84.], statim corrupta fuit, et nihilominus potabatur, luto quamvis et sanguine inquinata. deinde magnus fuit numerus occisione occisorum Athenn., majorque fuisset clades, nisi procul ab Athenis periisset exercitus ille magis ex auxiliaribus copiis conscriptus quam ex domesticis, ut ait Arrianus lib. 1. Ἀναβάσ. (c. 9. §. 2.) — *Fl. Chr.*

251. τάλαινα, ab effectu, infelix facta, male habita. S.: διακν. διαφθαρήσεται. ὡς ἐπὶ τυροῦ τοῦτο. Ὅμηρος (Il. 11, 638.)· ἐπὶ δ' αἴγειον κνεῖ τυρόν. κναίειν γάρ ἐστι κυρίως τὸ τὸν τυρὸν ξύειν τῇ κνίστῃ. (κνήστι, ut Iliad. l. l.)

253. sic libri plurimi, et recte. quod in duobus codd. invenit Br., σοι ante μέλιτι, ab interprete profectum est. Soph. Ant. 1216. κέρδη παραινεῖς. Rhes. 325. σύ τ' εὖ παραινεῖς, καὶ σὺ καιρίως σκοπεῖς, etc. perperam Br.: o., παραινῶ σοι μέλιτι χρῆσθαι 'τέρῳ, elisione inaudita. (cf. 102.) θάτερον μέλι, *alterum mel*, recte dicitur non Atticum, siquidem solum Atticum in pretio fuit, cui cetera mella, deteriora illa omnia, sine discrimine opponuntur.

254. τετρώβολον. πολυτίμητον. οὕτω γὰρ λέγουσι τὸ τετρωβόλου πωλούμενον. S.

255 ΠΟ. παῖ, παῖ Κυδοιμέ!
ΚΥ. τί με καλεῖς;
ΠΟ. κλαύσει μακρά·
ἕστηκας ἀργός· οὗτοσὶ γὰρ κόνδυλος
ὡς δριμύς!
ΚΥ. οἴμοι μοι τάλας! ὦ δέσποτα,
μῶν τῶν σκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;
ΠΟ. οἴσεις ἀλετρίβανον τρέχων;
ΚΥ. ἀλλ', ὦ μέλε,
260 οὐκ ἔστιν ἡμῖν· ἐχθὲς εἰσφκίσμεθα.
ΠΟ. * οὔκουν παρ' Ἀθηναίους μεταθρέξει ταχύ;
ΚΥ. ἔγωγε νὴ Δί'. (εἰ δὲ μή γε, κλαύσομαι)
ΤΡ. ἄγε δή, τί δρῶμεν, ὦ πόνηρ' ἀνθρώπια;

256. frustra Be. aliique: ἕστ. ἀργός; dictum ἕστ. ἀργὸς per asyndeton, quod talem personam, praesertim iratam, decet, pro ὅτι ἕστ. ἀργός. *vehementer plorabis, qui otiosus adstes: nam hic pugnus* (meus) *ut acer est!* cf. 123.

257. ὡς δριμύς (ἐστιν), ut βροτοῖς ἔρωτες ὡς κακὸν μέγα! Eurip. Med. 314., quem locum una cum ejusmodi aliis profert Zeunius ad Viger. 8, 10, 4, †. cf. 291, 486.

258. τῶν σκορ. quae sunt acria. percussus hoc dicit. *Be.* In moretum allia immisceri solebant. pugno percussus famulus herum facete percontatur, num moreto destinata allia in pugnum indiderit. *Br.*

259. ἀλετρ. οἱ μὲν δασέως παρὰ τὸ τοὺς ἅλας τρίβειν, οἱ δὲ ψιλῶς παρὰ τὸ ἀλεῖν. καὶ δοίδυξ μὲν Ἀττικόν, ἀλετρίβανος δὲ Ἀσιανόν. λέγεται δὲ καὶ ἀλότριψ, ὡς ἐν ἐπιγράμματι· καὶ τοῦτον δικάρανον ἀλότριβα, καὶ ἀλετρὶς ἡ μυλωθρὰς παρὰ Καλλιμάχῳ (h. in Del. 242., ubi vid. Sp. B.). Dobr.: „Hes. ἄκμονα, ἀλετρίβανον. Κύπριοι. (ἄκμονα ἀλετρίβανον Κύπριοι.)" — ὦ μέλε. cf. 137.

260. ἐχθὲς εἰσ. (*gestern zogen wir erst ein.*) συμβαίνει γὰρ τοῖς νεωστὶ εἰσφκισμένοις μὴ εὐπορεῖν πάντων τῶν ἀναγκαίων. S.

261. B. Paris. Rav. Inv. Ἀθηναίων, quod ita interpretatur Schneider. in lex. gr. v. μετατρέχω: non ocius petes ab Atheniensibus? — Producta 2. verbi μεταθρέξει offensus Br. scripsit οὐ μεταθρέξει. malim οὔκουν παρ' Ἀθηναίους μεταθρέξει ταχὺ ταχύ, ut Ach. 432. οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου, ubi Br.: „In membrana semel tantum posita vox πολύ, cum versus labe et venustatis detrimento. sed frequens id est librariorum peccatum." dactylus sede 5. senarii Comici, ut Menander ap. Suidam v. ἅβρα, monente Gaisfordio Hephaest. p. 242., αὐτὰς ἅβρα τῆς μητρὸς αὐτῶν γενομένη. ipse Aristoph. Plut. ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν δεῖ μ' ἀποθανεῖν, Νυb. 12. ἀλλ' οὐ δύναμαι δειλαιος εὕδειν δακνόμενος, 46. ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους etc.

262. εἰ δὲ μή γε, κλ. haec secum Cydoemus, quibus dictis proficiscitur ad Athenienses. manet in scena Polemus, reditum servi expectans; eumque sine pistillo venientem inclamat 268. qui dum abest, rebus humanis timens Trygaeus submissa voce spectatores alloquitur. cf. 271., 276. etc.

263. πόνηρ', ἐπίπονα, infelicia. cf. Ran. 805. infra 378. etc.

ὁρᾶτε τὸν κίνδυνον ἡμῖν, ὡς μέγας·
265 εἴπερ γὰρ ἥξει τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
ἀλλ', ὦ Διόνυσ', ἀπόλοιτο, καὶ μὴ Ἅλθοι φέρων.
ΠΟ. οὗτος...
ΚΥ. τί ἐστιν;
ΠΟ. οὐ φέρεις;
ΚΥ. τὸ δεῖνα γὰρ
ἀπόλωλ' Ἀθηναίοισιν, ἀλετρίβανος
270 ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
ΤΡ. εὖ γ', ὦ πότνια δέσποιν' Ἀθηναία, ποιῶν
ἀπόλωλ' ἐκεῖνος κἀν δέοντι τῇ πόλει
ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.
ΠΟ. οὔκουν ἕτερον δῆτ' ἐκ Λακεδαίμονος μέτει
275 ἀνύσας τι;
ΚΥ. ταῦτ', ὦ δέσποθ'.
ΠΟ. ἧκέ νυν ταχύ.
ΤΡ. ὦνδρες, τί πεισόμεσθα; νῦν ἀγὼν μέγας.
ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθράκῃ τυγχάνει

S.: ἀνθρ. ὑποκορισικῶς τοῦτο, πρὸς τὴν παροῦσαν συμφορὰν μειῶν αὐτούς.

265. ita Rav., in quo cod. etiam ὁρᾷς omissum est 269. et κακὸς 282., merito probantibus Hermanno ap. Seidlerum de vers. dochm. p. 394. et Porsono ap. Malthy Thesaur. prosod. p. 52. vulgo: ἥξει γε τὸν —, Ἀθηναίοις ἀλετρίβανος (et ita quidem etiam Rav.), ὁρᾷς —, Καὶ ναῖς Λακεδαιμονίοισι κακὸς ἀλετρίβανος, quae commenta sunt Metricorum male feriatorum.

267. ἀλλ', ὦ Διόνυσ'. ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς, καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ εἰρήνῃ ἀγομένων. S. cf. 109.

268. τὸ δεῖνα. ὅτε τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν, ὡς μὴ εὐθυρημονοῦντες. S.

270. ὁ βυρσ. τοῦτο διὰ τὸν Κλέωνα, ὡς αἴτιον τοῦ πολέμου, καὶ ὡς αὐτὸν συνέχοντα τὸν πόλεμον. S. cf. 47. sequ., 626. seqq., Equ. 976., quae loca suppeditavit Be. ἐκύκα. cf. 630.

271. εὖ ποιῶν ἀπόλ. ἐκ. cf., monente Be., Plut. 859., Conc. 798.; item Matth. gr. gr. §. 554.

272. ἐν δέοντι, *opportuno tempore*, ut Eurip. Or. 198. eodem sensu εἰς δέον dicitur ap. Soph. Oed. R. 1336. cf. annot. ad Av. 1687. *E Br.*

273. ἤ. h. e. μᾶλλον ἤ. Soph. Ajac. 892. ἐμοὶ πικρὸς τέθνηκεν ἢ κείνοις γλυκύς, ubi vide annot. et cf. Vigeri interpp. ad 7, 7, 4. et ipsum 7, 8, 5. ἐγχέαι est opt. aoristi. πρίν γε, *ante*, πρὶν ἀπολῆναι. S.: ἀντὶ τοῦ πρὶν ἡμῖν νὸν πόλεμον ἐπεγεῖραι. —

274. μέτει, *petitum ibis*.

275. ἀνύσας. cf. 823., Plut. 345., Matth. gr. gr. §. 557. etc. B.: Ad ταῦτ' intelligitur ποιήσω aut tale quid.

276. ἀγών, certamen, periculum.

277. sequ. ἐν Σαμ. οἱ ἐν κυ-

μεμνημένος, νῦν ἐστὶν εὔξασθαι καλὸν,
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
280 ΚΥ. οἴμοι τάλας, οἴμοι γε, κᾆτ' οἴμοι μάλα!
ΠΟ. τί ἐστι; μῶν οὐκ αὖ φέρεις;
ΚΥ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλεκτρίβανος.
ΠΟ. πῶς, ὦ πανοῦργ'; ἐς τἀπὶ Θρᾴκης χωρία
χρήσαντες ἑτέροις αὐτὸν εἶτ' ἀπώλεσαν.
285 ΤΡ. εὖ γ', εὖ γε ποιήσαντες, ὦ Διοσκόρω!

δύνοις γενόμενοι ἐπεκαλοῦντο τούτους τοὺς δαίμονας τοὺς ἐν Σαμοθρᾴκῃ, τούς τε Κορύβαντας καὶ τὴν Ἑκάτην. ἐξ ἧς καὶ διαβόητον ἦν τὸ Ζηρινθον ἄντρον, ἔνθα ταύτῃ ὠργίαζον καὶ ἠλευθεροῦντο. μεμυημένος. τὰ μυστήρια τοῦ Καβείρου. (Rav. τῶν Καβείρων.) δοκοῦσι δὲ οἱ μεμυημένοι ταῦτα δίκαιοί τε εἶναι, καὶ ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. S. De Samothraciis seu Cabirorum mysteriis copiose et subtiliter disputarunt Santacrucaeus (de Sainte-Croix) in lib. de mysteriis vett. (*Versuch über d. alten Mysterien* ex vernac. interp. Lenzii p. 41. seqq.) et Creuzerus (*Symbolik u. Mythol. der alten Völker* 2, 298. seqq. [prioris ed.]); etiam Mannertus Geogr. Gr. et Rom. 7, 248. seqq. B. νῦν — καλόν. Schol. Apoll. Rhod. ad 1, 918.: λέγονται γὰρ οἱ αὐτόθι μυηθέντες ἐπακούεσθαι εἰς ὃ ἂν εὔξωνται, ὡς Ἀριστοφάνης φησίν· ἀλλ' εἴ τις — καλόν. δοκοῦσι γὰρ μᾶλλον σώζεσθαι οἱ τὰ μυστήρια εἰδότες. vid. Th. Gutberlethi diss. de mysteriis deorum Cabirorum cap. 10. Br. καλὸν, ἀγαθὸν, πρέπον. cf. 292. etc.

279. ἀποστρ. ut avertantur, neque perveniant, quo vult. nescio qua auctoritate S.: ἀποστρ. ὃ ἡμεῖς διαστραφῆναι λέγομεν. quem tamen secuti plerique interpp. ἀποστρ. reddiderunt *distorqueri*. verum in commentario vidit Fl. Chr.; sed in interpr. etiam is male: *pretium operae est, ut is Precibus euntis postulet rumpi pedes.*

280. κᾆτ'. καὶ ἔτι. ita Dindorf. vulgo κἄτ'. cf. Ran. 817, infra 451. etc.

282. ἀλεκτρ. ὁ Βρασίδας, ὃς ἦν Λακεδαίμονος στρατηγὸς, καὶ ἀνθίστατο τῆς εἰρήνης. (τῇ εἰρήνῃ.) ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ. S. in proelio ad Amphipolin. vid. annot. ad 48.

283. πανοῦργε (*verbero, Schurke*) non ad vivum resecandum est, sed ita dicitur ut Ran. 35. S.: εἰς — χωρία. καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας εἰς Θρᾴκην κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ. S. ἐς τ. Θρ. χωρία (h. e. regionem Thraciae proximam. [Macedoniam adjectam.] vid. Gatterer. Comm. de Thracia pag. 76. 5. ex interpr. Schlichthorstii) missa esse ab Lacedd. auxilia, etiam Thuc. 5, 12. narrat. χρῆσαι, *commodare*, h. l. est: mittere duoem ad opem ferendam. B.

285. ποιήσ. cf. 271. S.: ὦ Διοσκ. οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο· διὸ νῦν αὐτῶν μέμνηται. S. vid. Sp. ad Callim. h. in Pall. 24.; sed etiam Athenis, teste Paus. 1, 18., et alibi in Graecia colebantur; praecipue tamen Lacedaemone, ubi Dioscuria in eorum honorem agebantur, et Cyrenis.

ἴσως ἂν εὖ γένοιτο. θαῤῥεῖτ', ὦ βροτοί!
ΠΟ. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
ΤΡ. νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
290 ὃ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας,
ὡς ἥδομαι, καὶ χαίρομαι, κεὐφραίνομαι.
νῦν ἐστὶν ἡμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
295 πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ', ὦ γεωργοὶ, κᾆμποροι, καὶ τέκτονες,
καὶ δημιουργοὶ, καὶ μέτοικοι, καὶ ξένοι,
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,

287. ita Br., Rav. perperam alii ἀπόφυρε.

288. his dictis in domum suam redit Polemus cum Cydoemo.

289. τοῦτο, κατὰ τοῦτο, *hoc modo*, vel *propter hoc*. Soph. Ajac, 622. τοῦτο μὲν νιφοστιβεῖς Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει, ubi vid. annot. ἥκει, adest, locum habet, *apte usurpari potest*, nec male τοῦτο ἥκει reddideris *hic adest*, i. e. nunc evenit; quemadmodum οὗτος et ὅδε vicina significare solent. — τὸ Δάτ. μέλος. Δάτις σατράπης Περσῶν βασιλέως, εὐδοκιμήσας κατά τινα χρόνον πολεμῶν. ἑλληνίζειν δὲ βουλόμενος εἶπεν ἥδομαι καὶ τέρπομαι καὶ χαίρομαι, καὶ ἐβαρβάρισε. (ἄλλως.) ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα δὲ οὗτος εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. — λέγεται δὲ τὸ τοιοῦτο δατισμός. (de hoc B. evolvi jubet Suidam et Zonaram t. 2. p. 1845. cf. etiam Erasmi Adag. p. 591. ed. Rob. Steph.) S. fuit iste Datis dux Persarum tempore Darii Hystaspis, victusque est cum Artapherne ad Marathonem. vide Herodot. 6, 94. seqq., Corn. Nep. Milt. c. 4.

290. solent infamiae notam inurere Persarum moribus Attici poëtae, ut monet Musgrav. in annot. ad Eurip. Androm. 170. (τοιοῦτον πᾶν τὸ βάρβαρον γένος· Πατήρ τε θυγατρὶ, παῖς τε μητρὶ, μίγνυται, Κόρη τ' ἀδελφῷ etc.), conferri jubens Aeschyl. Eum. 181. seqq. — τῆς μεσ., meridie. cf. 151. etc.

291. ita Rav. Inv., probante B.; nec aliter Suid. in νῦν τοῦτ'. vulgo: ὡς ἥδ., καὶ τέρπομαι (ut Plut. 288.), καὶ χαίρομαι. Fl. Chr.: *Nunc cantio illa Datidis mentem subit, Cinaedus olim quam canit meridie: Quam laetor, et delector, atque gaudeo!* (gaudeor.)

292. καλόν. cf. 278. B.: Tropice verba significant: jam decet, remotis istis turbatoribus civitatum inire pacem, priusquam alius quis turbare eam rursus conetur. πράγματα negotia bellica et molestiae nunc dicuntur. ἐξελκύσαι, scil. ex antro.

295. ἕτερον. Alcibiadem procul dubio intelligit, qui anno 13. belli Pelop. vere ineunte Argos profectus est, et inde assumtis sociis ad Patras usque pervenit, et Patrensibus persuasit, ut muros usque ad mare extenderent, et alia praeparabat ad bellum contra Lacedaemonios. Thuc. lib. 5. (c. 52. seqq. *Palmer*.

297. δημ. vid. ann. ad 419. καὶ ξένοι, Καὶ νησιῶται. nam illi quoque intererant spectaculo: vide annot. ad 43. eo pertinet etiam τὸ Πανέλληνες 302.

ὡς τάχιστ' ἅμας λαβόντες, καὶ μοχλοὺς, καὶ σχοινία· t. t. c.
300 νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.
ΧΟ. δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας!
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν!
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
305 πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾷν, φράζε κἀρχιτεκτόνει·
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
ΤΡ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
310 τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
ΧΟ. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος·
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.

299. ἅμας. τὰς πυράμας, ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. — καὶ παροιμία· ἅμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας. S. ἅμας, *ligones*. vid. Salmas. ad Hist. Aug. p. 337. *Br.* cf. 416.

300. ἀγ. δαίμονος. φασὶ γὰρ, ὅτι δειπνήσαντες μὲν ἐπεῤῥόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος. (cf. Bos. Antiqu. gr. 4, 14, 12.) ὡσεὶ ἔλεγε (ita Fl. Chr.: nam codd. male ἔλεγον)· νῦν γὰρ σπεῖσαι ἢ πίνειν ἐστὶν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα. S. Voss.: *Nun ja ist des guten Dämons Trunk zu haschen uns vergönnt.* fuit, cum τὶ supplendum existimarem, ut ἀγ. δαίμονος esset *aliquid bonae fortunae.* ἀγ. δαίμονος, ut ἐσθλοῦ δ' ἔκυρσα δαίμονος ap. Eurip. Ione 1163.

302. εἴπερ πώποτε. Eurip. Androm. 532. ἀλλ' ἀνηβητηρίαν Ῥώμην μ' ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ. Demosth. Olynth. 1., ed. Reisk. 1. p. 10.: φημὶ δεῖν ἐθελῆσαι, καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτὲ, καὶ νῦν. *E Be.*

303. φοιν. οἷον αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. — ἢ ἀντὶ τοῦ πολεμικῶν· φοινικὶς γὰρ χλαμὺς πολεμική. S. ergo pro φοινίων seu φονικῶν dictum putatur. B.

304. μισολάμαχος (vocab. compositum, monente B., ut μισόπολις, μισολάκων), *quae Lamachum odit*, pacifica. Lamachus Athenienseium illo tempore dux fuit belli tam peritus quam cupidus; qua de re conferri jubent 463., Ran. 978., Acharn. 270., 566. etc. vid. etiam Bähr. ad Plut. Alcib. 18.

305. πρὸς τάδε, πρὸς ταῦτα, *proinde, quare*, ut ap. Soph. Oed. R. 328., Eurip. Phoen. 487. (524.), ubi vid. Valck.

306. ἀπ., *animum despondere*, victum difficultate. Lysistr. 781. μὴ νῦν ἀπείπωμεν ταλαιπωρούμεναι. sic ἀπειρηκέναι. Eurip. Or. 91. οὕτως ἔχει τάδ', ὡς ἀπείρηκ' ἐν (ἀπείρηκεν) κακοῖς. *Be.*

310. ἐκζωπ. ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ πυρὸς φυσῶντας μεγάλην φλόγα κινῆσαι. S. Solon, monente Be., fragm. 15, 19. πόλεμον δ' εὔδοντ' ἐπεγείρει.

312. ου γὰρ etc. οὐ γὰρ, φασὶ,

ΤΡ. εὐλαβεῖσθε νῦν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων καὶ κεκραγὼς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
315 ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
ΧΟ. οὔτι καὶ νῦν ἐστὶν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἣν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ, ἰοὺ!
ΤΡ. ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ξυνταράξει τοῖν ποδοῖν.
320 ΧΡ. ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω·
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
ΤΡ. τί τὸ κακόν; τί πάσχετ', ὦνδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα!
ΧΟ. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς
325 οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.

πολεμικὸν εἴη (imo ἂν εἴη, vel ἦν) τὸ κήρυγμα (edictum Trygaei 296. seqq.), ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὴν πόλιν (scrib. τὸν πόλεμον) δηλοῖ. S. consequens belli est τὸ ἥκειν ἔχοντας σιτία τριῶν ἡμερῶν. Be.: Belli tempore, quum expeditio subitanea suscipitur, saepe edictiones publicantur, ut milites victum tot vel tot dierum, plerumque trium, sibi praeparent. — *Be.*, conferens Ach. 196. et ἀλληγορικὸν illud Vesp. 242. χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ Ἥκειν, ἔχοντας ἡμερῶν ὀργὴν τριῶν, ubi vid. Schol.

313. ita Rav., ut jam supersedere conjecturis liceat. vulgo libri perperam: εὐλαβεῖσθ' ἐκεῖνον τὸν Κέρβερον καὶ δεδίττεσθε. Br.: — εὐλαβεῖσθε, prenez garde à vous, φυλάττεσθε. Moeris: εὐλαβεῖσθαι ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς, Ἀττικῶς· εὐλαβεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι, Ἑλληνικῶς. B.: „*cavete vobis ab isto, qui nunc in Inferis est, Cerbero, ne quemadmodum, quum in vivis erat, pacem clamando impediat.*" similiter, monente Be., Comicus de Cleone Equ. 1026. φράζεν, Ἐρεχθείδη, κύνα Κέρβερον ἐνθαποδιστήν.

314. παφλ. διὰ τὸ ταραχῶδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζων. (de eodem Cleone in Equ. 136. βυρσοπώλης Παφλαγὼν Ἅρπαξ, κεκράκτης. *Be.*) ἐνθάδ' ἦν. τουτέστιν ὅτε ἔζη, ὁπηνίκ' ἦν σὺν ἡμῖν. S. Ran. 82. ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.

316. *neque nunc itidem* (καὶ νῦν) *erit quisquam, qui eam nobis eripiat.*

317. ἰοὺ, ἰοὺ. ἡδομένων ἐστὶ τοῦτο, διὸ περιεσπᾶται, ὡς τοῦ Χοροῦ τοῦτο λέγοντος. S. Trygaeo Br. tribuerat has voces, auctoritate duorum codd., cujus eum facti post poenituit, comparantem 343. et doloris et gaudii significationem habet haec interjectio, (vide 111., Plut. 276., 848., Soph. Oed. R. 1018., 1123., Schneider lex. gr. h. v.) vereorque ne temere in Scholiastae exemplaribus ἰοῦ scriptum fuerit h. l., sicut Plut. 853. ed. Hemsterhus. in codice Dorv., quo tamen loco σχετλιαστικὸν est.

319. ξυντ. ὁ Πόλεμος.

321. χαίρ. παυσαίμεθ' ἄν. cf. 326.

323. διὰ τὰ σχήματα; *propter has saltationes* vestras.

ΤΡ. μή τι καὶ νυνί·γ' ἔτ', ἀλλὰ παῦε, παῦ' ὀρχούμενος.
ΧΟ. ἦν, ἰδού, καὶ δὴ πέπαυμαι.
ΤΡ. φῄς γε, παύει δ' οὐδέπω.
ΧΟ. ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
ΤΡ. τοῦτό νυν καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσεσθ' ἔτι.
330 ΧΟ. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
ΤΡ. ἀλλ' (ὁρᾶτ';) οὔπω πέπαυσθε.
ΧΟ. τουτογί, νὴ τὸν Δία,
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
ΤΡ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
ΧΟ. ἀλλὰ καὶ τἀριστερόν τοι μοῦστ' ἀγαγκαίως ἔχον·
335 ἥδομαι γὰρ καὶ γέγηθα, καὶ πέπορδα, καὶ γελῶ
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.
ΤΡ. μηκέτ' οὖν νυνί γε χαίρετ'· οὐ γὰρ ἴστε πω σαφῶς·
ἀλλ' ὅταν λάβωμεν αὐτὴν, τηνικαῦτα χαίρετε,
καὶ βοᾶτε, καὶ γελᾶτ'· ἤδη γὰρ ἐξέσται τόθ' ὑμῖν t. t.
340 πλεῖν, μένειν, κινεῖν, καθεύδειν, ἐς πανηγύρεις θεωρεῖν,

326. παῦε sensu medii, ut Hom. Odyss. 4, 659. παῦσαν ἀέθλων, Eurip. Hel. 1255. μάτηρ ἔπαυσε πόνων. παῦ' ὀρχ. vide Matth. gr. gr. §. 549, 8.

327. ἦν, ἰδού, ut Ran. 1316., σπ obedio tibi. Equ. 26. ἦν. Οὐχ ἡδύ; Plut. 75. ἦνὶ, μεθίεμεν. ἰδού, ut 2, 5. etc.

328. — ἓν μόνον, φησὶν, ἔασόν με σχῆμα ποιῆσαι. S. Br.: ἑλκύσαι. verbum saltationis proprium. Nub. 540. οὐδὲ κόρδαχ' εἵλκυσεν, nec cordacem saltavit. germanice dicas: Gut denn, nur noch diesen Schleifer gönne mir, dann keinen mehr.

330. ne tum quidem saltabimus, cum id ex usu tuo fuerit. similiter advocati isti ap. Plautum Poen. 3, 1, 17. liberos nos esse oportet; nos te nihili pendimus: Ne tuo nos amori servos esse addictos censeas etc.

333. ὥστε μὴ λυπεῖν. ἐμὲ δηλονότι. συγχωρῶ, φησὶ, τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖσθαί μοι. S. non male Br. in annot. λυπεῖν μ' ἔτι.

334. ita Rav. et B. Paris., nisi quod illi quoque habent μ' ἔστ' ἀναγκ., ut vulgo libri. Br. καὶ τἀρ. τι μοί 'στ' ἀν. μοῦστ', μοι ἐστὶ, ut Soph. Ajac. 1157., Philoct. 773. cf. Matth. gr. gr. §. 56. ordo hic est: ἀλλά τοι καὶ τὸ ἀριστερὸν (σκέλος) ῥίπτειν ἐστί μοι ἀν. ἔχον. verum enimvero etiam sinistro pede jactato mihi opus est.

335. πέπορδα. ἡ μετάφορα ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται. S. Vesp. 1296., monente Be.: ἐνήλλετ', ἐσκίρτα, πεπόρδει, κατεγέλα, Ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον.

336. ἢ τὸ γ. ἐκδύς. ἡ μεταφ. ἀπὸ τῶν ὅφεων. S. τὴν ἀσπ. clypeum, arma, bellum. Be.: „ludit (?) in homonymia vocis ἀσπὶς, quae et serpentem significat et clypeum, ut observavit Florens.“ cf. 428.

340. πλεῖν, μένειν. formula dicendi, ut videtur. studebant autem Athenn. commercio atque navigationi, florentibusque rebus suis magnum habebant numerum navium. Aeschines orat. περὶ παρα-

ἑστιᾶσθαι, κοτταβίζειν, t. d.
συβαρίζειν, t.
ἰοὺ ἰοὺ κεκραγέναι. i. d.

πρεσβ. p. 337., laudante K. ad Ach. 550.: τριήρεις δ' ἐκτησάμεθα πλωΐμους καὶ ἐντελεῖς οὐκ ἐλάττους ἢ τριακοσίους. cf. ibi K. et, quem B. testem citat, Boeckhium libro germ. *Staatshaush. der Athener*, t. 1. p. 279. κινεῖν, καθ. etiam haec formula, ut videtur. cf. 818. S.: ἐς παν. θεωρεῖν. πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις, κατὰ θεωρίαν παραγίνεσθαι. — Br. ad Vesp. 1226.: θεωροὶ ap. Athenn. appellabantur, qui publica auctoritate ad sacrificia exterorum, ad oracula consulenda, ad festa, sacra certamina, aliosque conventus mittebantur, quibusque stipendium e publico dabatur. vide Hesychii interpretem ad glossam θεωρικός. —

341. κοτταβίζειν. παίζειν, τρυφᾶν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λάταγες, ἐνέῤῥιπτον ἐμβάλλοντες τὸ πόμα, καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. ἄλλως. κότταβος παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον· ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κινουμένη ὡς ἐπὶ ζυγίου. ἔχει δὲ πλάστιγγας δύο ἐξηρτημένας, καὶ κρατῆρας δύο (aquae plenos) ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος ἔκεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ καὶ κατέλθῃ, καὶ κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος ὑπὸ τὸ ὕδωρ κεκρυμμένου, καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν χυθῇ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει, ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μή, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ μανῆς. Idem ad haec inter alia annotavit: κότταβος Ἀθήναιος ἐν τῇ ιέ φησιν ὅτι Σικελική τίς ἐστι παιδιά, πρώτων εὑρόντων Σικελῶν —. Δικαίαρχος δὲ ὁ Μεσσήνιος, Ἀριστοτέλους μαθητής, ἐν τῷ περὶ Ἀλκαίου καὶ τὴν λάταγα αὐτὴν εἶναι Σικελικὸν ὄνομα. λατάγη (sic quoque, vel λαταγή, dicitur: vid. Valck. ad Callim. fragm. p. 213. Pierson. ad Moer. p. 253., Tittmann. ad Zonar. 2. 1285. sequ.) δέ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρὸν, ὃ συνεσραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐῤῥίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, καὶ τὸ ἄγγος, εἰς ὃ ἐνέβαλον τοὺς λάταγας. — cf. Fl. Chr. ad h. l.; Groddeck. (*Ueber den Kottabos der Griechen*, in s. Antiquarischen Versuchen, 1. Samml., 1800. p. 163—238.), qui novem genera hujus ludi recenset; Jacobs. (*Athenäos* [l. 15. pp. 666. seqq.] *über den Kottabos*, in Wielandii Att. Mus. 3, 1. pp. 475—496.); etiam Schneider in lex. gr. v. κότταβος. Jacobs. l. l. p. 486.: „Beim Kottabos kam es, unter allen verschiedenen Modificationen, darauf an, Wein aus dem Becher so herauszuschleudern, dass er zusammenblieb und da, wo er hingeworfen wurde, ertönte.“ — cf. 1172.

342. συβαρίζειν. παρὰ τὴν Συβαριτῶν τρυφήν· φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾶν. — S. de Sybaritarum (quorum urbs diruta est a Crotoniatis Olymp. 67, 2. sive ante Chr. nat. 510.) olim potentia et luxu vid. inprimis eruditissimus G. G. S. Köpke libro germ. *über Gesetzgebung der Gr.* pp. 332. seqq.

343. ἰοὺ. cf. 317.

ΧΟ. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν τὴν ἡμέραν ταύτην ποτέ! t. t. c. στ.

345 πολλὰ γὰρ ἀνεσχόμην pae. d.
πράγματά τε καὶ στιβάδας, ἃς ἔλαχε Φορμίων· pae. t.
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν, οὐδὲ δύσκολον, t. t. c.

5 οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν, ὥσπερ καὶ πρὸ τοῦ,
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις pae. d.

350 καὶ πολὺ νεώτερον, ἀπαλλαγέντα πραγμάτων. as., pae. d. et t. d. c.
καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα, καὶ κατατετρίμμεθα, πλανώμενοι pae. hex.
ἐς Λύκειον, κἀκ Λυκείου, ξὺν δορὶ, ξὺν ἀσπίδι. t. t. c.

10 ἀλλ', ὅ τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε φράζε· σὲ γὰρ αὐτοκράτορ' pae. hex.
εἵλετ' ἀγαθή τις ἡμῖν τύχη. pae. tr.

355 ΤΡ. φέρε δὴ κατίδω, ποῖ τοὺς λίθους ἀφέλξομεν. i. tr.

344. optat Chorus, ut belli tandem laboribus defuncto pace uti sibi liceat. — Rav. εἰ γ. ἐκγ. ἰδ. ταύτην με τὴν ἡμ. ποτέ. pejus alii: εἰ γάρ μοι γένοιτ' ἰδεῖν ταύτην τὴν ἡμ. ποτέ. secutus sum Beckium et Porsonum. μὲ et μοὶ addita esse videntur ab interpretibus. ἐκ in ἐκγένοιτ' est αὐξητικὸν, ut passim.

346. πράγματα, molestias belli. S.: ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις β' Λακεδαιμονίους, στρατηγήσας. λιτὸς δὲ οὗτος καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων. (imo *quas sortitus est*, ut praefectus classis: nam durius vivendum est classiariis quam exercitui terrestri, cui pagi vicique patent ad pernoctandum, nisi occupati sint ab hostibus.) Fl. Chr.: De hoc Phormione, durae etiam et praefractae vitae, meminit Pausan. in Atticis (1, 23, 11. add. 10, 11. extr. B.), et Asopichi cujusdam filium facit.

347. δριμὺν, *acrem, severum.*

349. ἁπαλὸν, *mitem, facilem.*

351. καὶ γὰρ ἱκ. χρόνον. ἰγ' γὰρ εἶχον ἔτη πολεμοῦντες. πολλὴν, φησὶ, θλίψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ Λυκείου καὶ ἀπιόντες εἰς τὴν πόλιν. τὸ Λύκειον δὲ γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι. S. de Lyceo breviter dixit Paus. 1, 19, 4., cujus vidd. interpp. adde librum Nitsch., a G. G. S. Köpkio editum, de rebus graecis p. 151.

353. αὐτοκράτορα, *dominum, imperatorem;* ridicule. Plautus Capt. 98. *hic qualis imperator nunc privatus est!* Bacch. 723. *o imperatorem probum!* Poen. prol. 4. *audire jubet vos imperator histricus.*

ΕΡ. ὦ μιαρὲ καὶ τολμηρὲ, τί ποιεῖν διανοεῖ;
ΤΡ. οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ Κιλλικών.
ΕΡ. ἀπόλωλας, ὦ κακόδαιμον!
ΤΡ. οὐκοῦν, ἢν λάχω·
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι.
360 ΕΡ. ἀπόλωλας, ἐξόλωλας!
ΤΡ. ἐς τίν' ἡμέραν;
ΕΡ. ἐς αὐτίκα μάλ'.
ΤΡ. ἀλλ' οὐδὲν ἠμπόληκά πω,
οὔτ' ἄλφιτ', οὔτε τυρὸν, ὡς ἀπολούμενος.
ΕΡ. καὶ μὴν ἐπιτέτριψαί γε.
ΤΡ. κᾆτα τῷ τρόπῳ
οὐκ ᾠσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
365 ΕΡ. ἆρ' οἶσθα, θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς, ὃς ἂν
ταύτην ἀνορύττων εὑρεθῇ;
ΤΡ. νῦν ἆρά με

357. Κιλλικών. τὴν νῆσον Μίλητον τοῦτόν φασι προδεδωκέναι τοῖς Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. — S. ὅπερ (ἐποίησε) καὶ Κιλλ. i. e. πάντ' ἀγαθά. — Suidas: ἐπὶ πονηρίᾳ ἐτεθρύλλητο ὁ Κιλλικών, ὃς προὔδωκε Μίλητον Πριηνεῦσι· πυνθανομένων δέ τινων πολλάκις αὐτοῦ, τί μέλλει ποιεῖν, ἔλεγε πάντα ταγαθά· καὶ ἔστι παροιμία παντ' ἀγαθά, ὡς ἔφη Κιλλικών. cf. Hesych. in Κιλλικών et in Δημοκλεῖδαι. E Br.

358, 9. οὐκ., ἢν λάχω. παίζει πρὸς τὸν Ἑρμῆν, ἐπειδὴ, ὅταν (ὅτε) πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο, ἀλλ' ἕκαστος ἐκληροῦτο καθημέραν, καὶ τῷ κληρωθέντι θάνατος ἐπῆει. καθημέραν οὖν εἷς μόνος ἐτελεύτα· ἔστι γὰρ ὅτε μετεμελοῦντο, καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κληροι Ἑρμοῦ, παίζων τοῦτο λέγει. Ἑρμῆς γὰρ ὤν. εἰ ὥρισται, φησὶ, πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κληροι Ἑρμοῦ δοκοῦσιν εἶναι, ὅθεν καὶ τὸν πρῶτον κληρούμενον Ἑρμῆν, φησὶ (φασὶ), καλεῖν δεῖ. S. οὐκ., ἢν λάχω, *si quidem sors id jusserit. Fl. Chr.* sortiendi praeses Mercurius etiam hic sortibus dicitur usurus esse, κλήρῳ ποιήσειν τὸ πρᾶγμα, h. e. κληρώσειν.

360. ἐς τίν' ἡμ.; *quam ad diem?* vid. S. ad 358.

361. sequ. Jocus in militiam, tanquam si ea esset certissimus pereundi modus. milites et nautae in expeditionem profecturi viatica sibi comparabant; quem morem equos etiam observasse, facete narrat Chorus Equ. 599. *Br.* cf. annot. ad 312.

363. καὶ μὴν ἐπ. γε, *imo jam prorsus periisti*, non *periturus* (ἀπολούμενος) *es*, ut dicis, qui Jovi refragari ausus sis.

364. ἀγαθὸν dictum pro κακόν. S.: πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο, ὡσανεὶ τῷ τελείῳ (imo γελοίῳ) τὴν ὀργὴν αὐτοῦ καταπραΰνων. παίζων οὖν εἶπεν. S.

365. προεῖφ'. ἀντὶ τοῦ ὥρισε. — S. προειπεῖν verbum proprium est de civitatibus, ducibus, magistratibus, qui publice edicunt (v. Thuc. 4, 26.), et εὑρεθῆναι, de iis, qui in facinore quodam deprehenduntur. B.

ἅπασ' ἀνάγκη 'στ' ἀποθανεῖν;

ΕΡ. εὖ ἴσθ' ὅτι.

ΤΡ. ἐς χοιρίδιόν μοι νυν δάνεισον τρεῖς δραχμάς·
δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι.

370 ΕΡ. ὦ Ζεῦ κεραυνοβρόντα...

ΤΡ. μὴ, πρὸς τῶν θεῶν,
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε, δέσποτα!

ΕΡ. οὐκ ἂν σιωπήσαιμι.

ΤΡ. ναὶ, πρὸς τῶν κρεῶν,
ἀγὼ προθύμως σοι φέρων ἀφικόμην!

ΕΡ. ἀλλ', ὦ μέλ', ὑπὸ τοῦ Διὸς ἀμαλδυνθήσομαι,

375 εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.

ΤΡ. μὴ νῦν λακήσῃς, λίσσομαί σ', ὥρμίδιον! —
εἰπέ μοι, τί πάσχετ', ὦνδρες; ἕστατ' ἐκπεπληγμένοι.
t. t. c.
ὦ πόνηροι, μὴ σιωπᾶτ· εἰ δὲ μὴ, λακήσεται.

368. ἐς χοιρ. ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης. S. — hinc in Ach. 747. χοιρία μυστηρικά, ubi vid. not. dicit autem ante mortem oportere se initiari, quia initiatorum melior est conditio post mortem. Chorus mysticus in Ran. 457. (422.) μόνοις γὰρ ἡμῖν ἥλιος καὶ φέγγος ἱλαρόν ἐστιν, Ὅσοι μεμυήμεθ'. Be. cf. Ran. 327.

370. ὦ Ζεῦ κερ. τοῦτο ὁ Ἑρμῆς φησιν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν Εἰρήνην. S.

372. ναὶ, — κρεῶν. γέλωτος χάριν τοῦτο, ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττωμένους ὑπὸ λήμματος. S. cf. 192. Be. de παρομοίῳ ridiculo verborum πρὸς τῶν θεῶν, πρὸς τῶν κρεῶν, admonuit Fl. Chr.

374. ὦ μέλ'. cf. 137. hic quoque libri vett. ὦ μέλε'. — ἀμαλδ., εἰ μὴ κανείπω ταῦτα τὰ πρατόμενα οὕτως ὑμῖν καὶ διαβαλῶ. τορῶς γὰρ σαφῶς καὶ ἀκριβῶς. (quum τορῶς a Grammaticis reddatur μεγαλοφώνως [Phot. lex. 438.], τορεῖν est haud dubie *alta voce loqui*, et λακεῖν, ut λάκειν, *sonitum edere*, utrumque autem verbum h. l. *alto clamore aliquid indicare*. B: cf. Plut. 39.) ἐπίτηδες δὲ τραγικαῖς λέξεσιν ἐχρήσατο, τῷ τετορήσω καὶ λακήσομαι. τὸ δὲ ἀμαλδ. ἀντὶ τοῦ ἀφανισθήσομαι. παρατηρητέον οὐκ πρὸς τοὺς παρ' Ὁμήρῳ ἐξηγουμένους τεῖχος ἀμαλδύνας ἀντὶ τοῦ ὁμαλίσας. S. ἀμαλδύνεσθαι est i. q. ἀφανίζεσθαι, *evertti, e medio tolli*. v. Heyn. ad Hom. Iliad. 7, 463. B.

376. ὥρμίδιον, ὦ Ἑρμίδιον, pro Ἑρμείδιον ab Ἑρμείας: unde fit, ut antepenultima hujus deminutivi producatur, vide Matth. gr. gr. §. 102, 5. et cf. 870. Lys. 400.

377. εἰπέ μοι, τί πάσχετ', ut, monente Be., Av. 366. εἰπέ μοι, τί μέλλετε. B.: Alloquitur Choricos, qui velut perculsi stabant, et ne hiscere quidem, nedum rogare Mercurium, audebant, ne rem proderet.

378. ὦ πόν. ὦ ἐπίμοχθοι. (cf. 263.) ἐπιτιμᾷ δὲ αὐτοῖς, ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν. S. recte Be. λακήσεται pro λακήσετε. saepius αι et ε confusa. cf. 397.

ΧΟ. μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μὴ, μηδαμῶς, ἀντ.

380 εἴ τι κεχαρισμένον
χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε κατεδηδοκὼς,
* τοῦτο μὴ φαῦλον νομίζων ἐν τῷδε τῷ πράγματι·

5 ΤΡ. οὐκ ἀκούεις, οἷα θωπεύουσί σ', ὥναξ δέσποτα;

ΧΟ. * μὴ γένῃ παλίκοτος

385 * ἀντιβολοῦσιν ἡμῖν, ὥστε τήνδε μὴ λαβεῖν,
ἀλλὰ χάρισαι, φιλανθρωπότατε καὶ μεγαλοδωρότατε δαιμόνων,

482. depravata. Fl. Chr. ἐν γε τῷδε πρ., Br. vel malebat τ. μὴ φ. ν. τουτωῖ τῷ πρ., vel potius κεῖνο μὴ φ. ν. τουτωῖ τῷ πρ. Porson. et Dindorf.: τ. μὴ φ. νόμιζ' ἐν τουτωῖ τῷ πρ. sed nec elegans est τοῦτο ἐν τουτωῖ, id quod sentiens κεῖνο tentabat Br., nec facile dixeris, cur quisquam pro τουτωῖ τῷ posuerit abhorrens illud a metro τῷδε τῷ, nisi et illi putidum visum fuerit τοῦτο τουτωῖ. quid multa? scribendum esse arbitror: τ. μὴ φ. νομίζειν τῷδε τῷ παράγματι. infinit. pro imperativo usurpatus est, in dativo autem intelligendum ἐν, ut in Brunckii conjecturis. παράγματι et rei tam convenit, quam quod maxime, et simillima sunt verba παράγματι, πράγματι, ut permutata inter se esse non sit mirandum. similia quoque νομίζειν et νομίζων, neque inusitata ellipsis τοῦ ἐν: qua tamen si quis est qui offendatur, is per me scribat licet νόμιζ' ἐν τῷδε τῷ παράγματι. Eurip. Herc. fur. 816. τάραγμα Ταρτάρειον — Εἰς δόμους πέμπεις, et 988. ὡς δ' ἐν κλύδωνι καὶ φρενῶν παράγματι Πέπτωκα δεινῷ etc. cf. supra 319. sequ.

384. prorsus ἀμέτρως libri παλίγκοτος: sed praeterea scribendum esse suspicor numerorum causa παλικότως, de quo vid. Matth. gr. gr. §. 308., vel παλίκοτος γένῃ, quod plane congruit versui ἀντιστοίχῳ.

385. ne hic quidem versus sanis incedit pedibus, graviusque etiam afflictus est quam superiores. non ita male, ut in melicis, Herm. de Metr. p. 362. proposuisse videtur ἀντιβολέουσιν: sed hoc parum est, siquidem et posterior versiculi pars laborat illato iambo dim., ubi ejusmodi trochaïcus est in stropha. fortasse ab interprete profectum est ὥστε, cum Aristoph. scripsisset ἀντιβολέουσιν ἡμῖν, τὸ τήνδε μὴ λαβεῖν. Eurip. Hipp. 48. τό γὰρ τῆσδ' οὐ προτιμήσω καλὸν, Τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθρούς ἐμοὶ Δίκην τοσαύτην, ὥστε μοι καλῶς ἔχειν, ubi vid. Matth. nec nolim scribi ἀντιβολέοντί μοι: vel sine omni offensione ἀντιβολίαις ἐμαῖς, ὥστε τ. μὴ λ.: vel etiam ἀντιβολέουσιν, ἤμ', ὥστε etc., quod instantis est, velut παιδίον! παῖ, ἤμι, παῖ! Ran. 87. ad hoc quidem quod attinet, pro ἤμ' scriptum ἡμὶ neglecto apostropho, ut saepe fit in libris, pro ἡμῖν habitum fuerit, praesertim antecedente dativo pluralis, neque explorata ratione harum stropharum.

386. ita Br., cum in B. Paris. reperisset χάρισαι, ὦ φιλ. vulgo χάρισ', ὦ φιλ., quod fuit fortasse χάρις, ὦ φ., ut huc pertineat γένῃ ex praegressis. γένῃ χάρις eo fortius dictum est quam γένῃ χαρίεις vel quiddam simile, quo notio rei latius patet quam personae. exempla ejusmodi locutionum suppeditat Matth. gr. gr. §. 429. cf. nos ad Eurip. Suppl. 160., Soph. Trachin. 29. etc. — φιλ. καὶ μεγ. δαιμόνων. tam magnifice com-

εἴ τι Παισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς·
καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι διαπαντὸς, ὦ
δέσποτ', ἀγαλοῦμεν ἡμεῖς ἀεί.
390 ΤΡ. ἴθ' ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα, i., tr.
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
ΕΡ. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
ΤΡ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
395 ΕΡ. ἴθι δή, κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
ΤΡ. ἡ γὰρ Σελήνη χὠ πανοῦργος Ἥλιος
ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
ΕΡ. ἵνα τί δὲ τοῦτο δρᾶτον;
ΤΡ. ὅτιὴ νὴ Δία
400 ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ

pellari meruit Mercurius, quippe inventor creditus linguarum, litterarum, legum, mensurarum et ponderum, aliarumque rerum utilissimarum, quas enumerant Cic. de N. D. 3, 22., Diodor. Sic. 1, 16., 5, 75., Hygin. fab. 143. aliique.

387. εἴ τι Πεισ. ἴσως εἰρωνεύεται· ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. S. fuit igitur miles, sed ignavus. Av. 1563. laudante Be., ἔνθα καὶ Πείσανδρος ἦλθε δεόμενος ψυχὴν ἰδεῖν, ἢ ζῶντ' ἐκεῖνον προὔλιπεν.

388. προσόδοις, reditibus. Harpocratio v. ἀπὸ μισθωμάτων: Δίδυμός φησιν ὁ γραμματικὸς, ἀντὶ τοῦ ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀπένεμον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι etc. cf. Herm. ad Soph. Trach. 215.

389. ἀγαλ. ἡμεῖς ἀεί. ὅτι περισσὸν τὸ ἀεί· ἤρκει γὰρ εἰπεῖν διαπαντός, (hunc pleonasmum, qui ap. Atticos non infrequens est, in voc. ἀεὶ illustrat Porson. ad Eurip. Phoen. 1422. B.) ἀγαλοῦμεν δὲ ἐπικοσμήσομεν. — S.

392. πάρ' ὑπόνοιαν. ἔπαιξε δὲ ὡς τοῦ Ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. — αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους ὡς πολλὰ κλέπτοντας. S.

394. ἐπιβ. suscipitur clam. B.

397. ita Porson. Eurip. Hecub. p. 103. ed. Lips. 4. et Dindorf, secundum Rav., in quo legitur ἐπιβουλεύοντες, quod ἄμετρον, ipsum ἐπιβουλεύοντε esse videtur ἐπιβουλεύονται in MS. Victor. Act. Monac. fasc. 3. p. 403. vulgo ἐπιβουλεύουσι, temere usurpato asyndeto.

399. ἵνα τί (γένηται), cur, vid. Herm. ad Viger. ann. 849. etc.

400. τούτοισι δέ. οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν, ὡς Ἡρόδοτος ἱστορεῖ. (Herodot. 1. cap. 131. de Persis: οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες· θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ, καὶ γῇ, καὶ πυρὶ, καὶ ὕδατι, καὶ ἀνέμοισι etc.) εὐφυῶς δὲ πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος δείκνυσιν, ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς

οἱ βάρβαροι θύουσι· διὰ τοῦτ' εἰκότως
βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
ΕΡ. ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην,
καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁρματωλίας.
ΤΡ. ναὶ μὰ Δία. πρὸς ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον·
καὶ σοὶ τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν,
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
μυστήρι', Ἑρμῆ, Διπόλει', Ἀδώνια·

Ἕλληνας διὰ στάσεις ἀλλήλους διαφθείρειν. ἐπεικῶς δὲ οἱ βάρβαροι τόν τε ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τῆν Δῆλον καὶ τὴν Ἔφεσον (de Epheso nihil Herod. 6, 97.) οὐ διελυμήναντο· ὁ μὲν γὰρ ἥλιος Ἀπόλλων ἐνενόμιστο, ἡ δὲ Ἄρτεμις σελήνη. S.

403. ἵνα τὰς τελ. λάβοιεν αὐτοὶ. ἡμῶν ἀπολλυμένων, καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. παρατηρητέον δὲ, ὅτι ἀντὶ τοῦ τὰς θυσίας κεῖται τὰς τελετάς. S. τελετὴ est proprie θυσία μυστηριώδης (Phot. lex. p. 422. add. Suid. h. v., Etym. M. p. 757., Zonar. 2. p. 1718.); sed h. l. τελεταὶ videntur omnino sacra, sacrificia esse, ut 409. omnino sunt solemnia, festa sacra. B.

404. Sensus: haec igitur causa est (ταῦτα pro διὰ ταῦτα), cur dudum partem dierum suffurati sint, et (iniqua) aurigatione (ὑφ' ἁρμ. pro διά, de quo usu praepositionis ὑπό v. Fisch. Anim. ad Well. 4, p. 276.) orbis (dierum noctiumque) partem rodendo absumserint (dies inminuerint). B. per jocum hanc causam esse ait, cur sol et luna id jam antiquitus (πάλαι) facere *consueverint*: nam mos significatur imperfectis παρεκλεπτέτην et παρέτρωγον: vid. Matth. gr. gr. §. 503, 1. intelligit autem aequinoctia. S.: συντίθεται ὁ Ἑρμῆς καὶ φησιν, ὅτι διὰ ταῦτα ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου. — τὸ οὖν φύσει γινόμενον ἐκλέπτεον εἶπε παίζων.

408. τὰ μεγάλα. οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν, ἀλλ' αὔξων τὴν χάριν. (h. e. non propterea ita locutus est, ut magna Panathenaea parvis opponeret, sed magnorum tantum honorem Mercurio promittens, qui error est Florentis Christ., sed μεγάλα nominavit κατ' ἐξοχὴν, quippe alteris longe splendidiora. de utroque festo vide Meursii Panathen., Gronov. Thes. Antt. gr. t. 7., et antiquitatis gr. scriptores, in his Nitschium, vol. 1. pp. 714. seqq.) τῇ δὲ Ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν, ὅτε καὶ ἡ ναῦς ἐπὶ γῆς πλέει παρ' αὐτοῖς. σοὶ, φησὶν, ἄξομεν τὰ Παναθήναια, καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ. S.

410. Ἑρμῆ edd. recentiores. vett. et MSS. minus recte Ἑρμῇ post σοί: quod sensit etiam B. — μυστ. Eleusinia. Διπόλει' pro Διϊπόλει', quae est vulgata lectio, scripsi auctore Dobraeo, lexicon Sangerm. MS. Bekker. Anecd. p. 91.: Δισωτήριον καλοῦσιν Ἀθήνησιν ἀντὶ τοῦ τὸν ναὸν σωτῆρος Διός. ἔστι δ' Ἀττικὸν τὸ σχῆμα. Διπολιεῖα (Διπόλεια) γοῦν καλεῖται ἑορτή. καὶ Διπολιώδη φησὶν Ἀριστοφάνης. (Nub. 978.) Θουκυδίδης δὲ Διάσια καλεῖ τὴν ἑορτήν. Thucyd. 1, 126.: ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ, οὐχ ἱερεῖα,

ἄλλαι τε σοὶ πόλεις πεπαυμέναι κακῶν
ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ.
χἄτερ' ἔτι πόλλ' ἕξεις ἀγαθά· πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ', ἵνα σπένδειν ἔχῃς.
415 ΕΡ. οἴμ', ὡς ἐλεήμων εἰμ' ἀεὶ τῶν χρυσίδων!
ὑμέτερον ἐντεῦθεν ἔργον, ὦνδρες· ἀλλὰ ναῖς ἅμαις t. t. c.
εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
ΧΟ. ταῦτα δράσομεν· σὺ δ' ἡμῖν, ὦ θεῶν σοφώτατε,
ἅττα χρὴ ποιεῖν, ἐφεστὼς φράζε δημιουργικῶς·
420 τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
ΤΡ. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως i. tr.
ἔργῳ 'φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.

ἀλλὰ θύματα ἐπιχώρια. ibi Schol.: τινὰ πέμματα εἰς ζῴων μορφὰς τετυπωμένα ἔθυον. cf. Pollux 6, 76. die 14. Scirrophorionis mensis hoc festum celebratum fuisse narrat S. — *Adonia* in honorem Adonidis Venerisque biduum agebantur vere, vide inprimis Plut. Alcib. 18. Nic. 13., Lucian. de dea Syria sub initium, et ex recentioribus Creuzerum Symbol. et Mythol. 2. pp. 93. sqq. ed. 2.

411. τοῦτό φησιν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν Ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνον ἐρώντων τῆς εἰρήνης. οὐ μόνον γὰρ αὐτοί, φησί, τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι, διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων. S.

412. ἀλεξ. — καὶ Ἀπόλλωνα καὶ Ἡρακλέα ἀλεξικάκους τιμῶσι, φησὶν οὖν· οὔτε Ἀπόλλωνι οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί. S.

414. [τοῦτο] παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν δίδωσιν αὐτῷ φιάλην χρυσῆν. S. Ald. σπένδων, quod non inelegans,

415. ἐλεήμων χρυσίδων, ut ἀνθράκων οὐδαμῶς δηλήμονες ap. Herod. 2, 74. et quae similia laudat Matth. gr. gr. §. 322, 1. *heu, quam me semper miseret aureorum vasorum!* S.: — παρ' ὑπόνοιαν ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἀεὶ καὶ ἐλεήμων (κατελεήμων), ἢ τῆς Ἑλλάδος, ἢ τῶν ἀνθρώπων, εἶπε τῶν χρυσίδων, διὰ τὴν χρυσῆν φιάλην.

416. — ὁ Ἑρμῆς ταῦτα παρακελεύεται. ταχέως δὲ πεποίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν, ἵνα μᾶλλον αὐτὸν δείξῃ ἧττονα τοῦ λήμματος. S. ταῖς ἅμαις. cf. 299.

419. δημ. ἀντὶ τοῦ τεκτονικῶς· τοὺς γὰρ τέκτονας δημιουγοὺς ἔλεγον. S. at supra 296. dixit τέκτονες, καὶ δημιουργοί. Schol. ad Equ. 656., quem Be. laudavit.: — κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. — glossae ap. B.: δημιουργός, moderator, cf. Schneider. in lex. gr. v. δημιουργός. Fl. Chr.: *Impera quid factu opus sit, Architecte, praesidens.* Voss.: *Steh zur Seit', und, was geschehn muss, ordne du werkmeisterlich.*

421. infundere vult, quod litetur: itaque eum (Mercurium) subtus exhibere (*unter*halten) jubet phialam. B.

422. ita Eustath. ad Odyss. 22, 49. δύναται γὰρ, inquit, ὥσπερ ἀττικίζεται ὁ λόγος ἐν 'τῷ [τῷ ἐμῷ,] τῷμῷ, οὕτως εἶναι κατὰ συναλοιφὴν καὶ τὸ ἔργῳ 'φια-

ΕΡ. σπονδή, σπονδή·
εὐφημεῖτε, εὐφημεῖτε. ant. tr.
425 ΤΡ. σπένδοντες εὐχώμεσθα τὴν νῦν ἡμέραν i. tr.
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν,
χἄστις προθύμως ξυλλάβῃ τῶν σχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
ΧΟ. μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον,
430 ἔχοντ' ἑταίραν, καὶ σκαλεύοντ' ἄνθρακας.

λοῦμεν ἀντὶ τοῦ ἐφιαλοῦμεν καὶ ἐφιβαλοῦμεν ἔργῳ, ἵνα, κατὰ τὸ χεῖρας ἰάλλειν κρέασιν, οὕτω καὶ ἔργῳ ἐφιαλεῖν ἢ τὸ ἐγχειρῆσαι πράξει τινί. idem Vesp. 1348. in suis exemplaribus legebat οὐδ' ἐφιαλεῖς, ἀντὶ τοῦ ἐπιβαλεῖς, ὁρμήσεις; nec miratus Homericum l. l. verbum ἐπίηλεν: Ἰστέον, inquit, ὅτι τὸ ἰάλλειν φιλοῦται· ὁ δὲ Ὁμηρικὸς Ἐφιάλτης ὑποβάλλει νοεῖν, ὡς καὶ δασύνεται, ἀπὸ τοῦ ἵημι etc. hanc rationem merito probarunt Bentlejus et Br.; quam firmant illa in scholiis: ἢ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσωμεν, et quae similia sequuntur. vulgo tamen οὐδὲ φιαλεῖς legitur in Vespis, et h. l., quem tractamus, ἔργῳ φιαλοῦμεν, quod nescio quis in scholiis ita interpretatur: οἷον, ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων (τῷ ἔργῳ). — παίζει δὲ παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιαλεῖν (?) κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. et compar ejus in Vespis: φιαλεῖν τὸ τῇ φιάλῃ πιεῖν. haec sunt quibus placeant; sed recte Br. ad Vesparum l. l.: φιαλοῦμεν et φιαλεῖς futura sunt, quae nescio qua ratione a themate φιαλέω formari queant etc.

425, 6. δοκεῖ διὰ τοῦτον αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ Πελοπ. πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλάττεσθαι λοιπόν, καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις εἶπεν (εἶπεν), ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. S. vid. Thuc. 2, 12.

427, 8. ξυλλ. τῶν σχοιν. ἀντιλαμβάνοιτο. σχοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον. μὴ λ. τὴν ἀσπ. μηκέτι πανοπλίαν βαστάζειν, ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου. (cf. 336.) χρησίμως δὲ νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι τὰ τῆς εἰρήνης ἡδέα, προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτοὺς φέρων αὐτῆς. S.

430. καὶ σκαλ. ἄ. ἀντὶ τοῦ ζωπυροῦντα τοὺς ἄνθρακας, οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους (castaneas, vel palmulas), καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾷν. — S. Ach. 1013., monente Be., τὸ πῦρ ὑποσκάλευε. similiter Voss. ἄνθρακας interpretatur *die Glut des lange glutlosen Heerdes.* At vero id etiam in bello fieri necesse est, siquidem vivendum tamen est hominibus; hic autem aliquid χαρακτηριστικὸν requiritur pacis atque otii, quale est τὸ ἔχειν ἑταίραν. Plautus Truc. 55.: Postremo in magno populo, multis hominibus, *Re placida atque otiosa*, victis hostibus, *Amare oportet omnes, qui quod dent habent.* ejusmodi significationem habebit τὸ σκαλεύειν ἄνθρακας, si id interpretabimur *fricare ulcera*, h. e. ulcera recens sanata, quod item est otiosorum, praesertim Atheniensium. Noster Equ. 906. ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι Τἀν τοῖσιν ἀντικνη-

ΤΡ. ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
μηδέποτε παύσασθ' αὐτὸν, ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
ΧΟ. κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ
435 εἰς φῶς ἀνελθεῖν, ὦ πότνιά γ', ἐν ταῖς μάχαις
πάσχοι γε τοιαῦθ', οἷά περ Κλεώνυμος.
ΤΡ. κεἴ τις δορυξὸς ἢ κάπηλος ἀσπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,

μίοις ἑλκύδρια περιαλείφειν, quod Δήμῳ dicitur, ut eo morbo vulgus Atticum laborare solitum esse videatur. cf. Casaub. cum ad eum locum Comici, tum ad Theophrast. Charact. 19. significat autem inter alia vocab. ἄνθραξ *carbunculum*, genus ulceris, quo non aliud pejus esse ait Celsus 5, 28. ambiguo verbo usum dicas Comicum ridiculi causa; quae ambiguitas augetur eo, quod hae voces etiam figurato sensu usurpari solent, quemadmodum κάλλος κακῶν ὕπουλον dixit Soph. Oed. R. 1316. et Antig. 607. τί γὰρ Γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός; ubi vid. Erfurdt., Eurip. Suppl. 210. ἥλκωσας οἴκους, Hesych. ἕλκη, λῦπαι. Latini quoque ejusmodi vocabula a malis corporis ad animi transferunt, velut Cic. dixit de N. D. 1, 37. *quidquid horum attigeris, ulcus est*, et quod aprime ad hunc locum facit, Plautus Most. 951. nostrae ed. 2.: amburet misero eji corculum *carbunculus*, ἄνθραξ. hac igitur probata interpretatione, seu proprie dictum putabis ἄνθρακας, haud inepta erit, praesertim in Atheniense, imago ulceris curati, quod otiosus fricat; sive placet sensus τροπικὸς, itidem apte dicetur futurum esse, ut hic senex restituta pace ulcerum velut fricatione, h. e. praeteritorum belli malorum recordatione, delectetur. — quod praeterea legitur in scholiis, ἢ τὸ γυναικεῖον αἰδοῖον ἄνθρακας λέγει, et satis ineptum est et ταυτολόγον, imo minus quam ἔχειν ἐταίραν, neque ulla est in eo testimonio auctoritas. intelligitur tamen ex eo, fuisse jam olim, quibus vulgata horum interpretatio displiceret.

432. παύσασθ'. παύσασθαι. cf. 102. pertinet huc εὐχώμεσθα ex versu 425. Διόν. ἄναξ, praeses ludorum cf. 109.

433. ὀλέκρανον τινὲς τὸν ἀγκῶνα, ἢ τὸ ἐπὶ τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν. ἄλλως. ἀκίδας τὰ βέλη λέγει. — S. εἰρωνικῶς dictum: nam fugere necesse est eos, quorum cubita vulnerantur.

436. Κλεώνυμος. τουτέστιν ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος, ὡς καὶ ἐν τοῖς Σφηξὶ λέγει φανερῶς. S. vide Vesp. 585., Nub. 352., infra 649. seqq., Av. 298.

437. δορυξὸς bis Suidas MS. in v. ap. Dobr., vulgo edd. ante Brunckii, qui dedit δορυξόος, et in Teubneriana ed. Dindorfius. cf. 538. Etym. M., monente Br.: δορυξόος, ἐκ τοῦ δόρυ καὶ τοῦ ξέω. οὐδεὶς δὲ λέγει Ἑλλήνων δόρυξος, ἀλλὰ δορυξόος, καὶ κατὰ συγκοπὴν δορυξός· (male libri δόρυξος) etc. S. κάπ. ἀσπ. οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλου λαμβάνων καὶ πωλῶν. καπήλους γὰρ τοὺς μεταβολεῖς φησιν (φασιν).

438, 9. ἵν' ἐμπ. βέλτιον. ἵνα πιπράσκῃ πλείονος. ἢ ἵνα πορίζῃ πλεῖον. συνήθως δὲ νῦν τὸ ἐμπολᾷ ἀντὶ τοῦ πωλεῖ. (πωλῇ.) πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν, ὡς ἐξῆς· (552.) ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον. τὸ

ληφθεὶς ὑπὸ ληστῶν ἐσθίοι κριθὰς μόνας.
440 ΧΟ. κἤν τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ,
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος·
ἡμῖν δ' ἀγαθὰ γένοιτ' (ἰὴ Παιὼν, ἰή!)...
ΤΡ. ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.
445 ΧΟ. ἰὴ, ἰὴ τοίνυν γ', ἰὴ μόνον λέγω.
ΤΡ. Ἑρμῆ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
ΧΟ. Ἄρει δέ;
ΤΡ. μὴ, μή!
ΧΟ. μηδ' Ἐνυαλίῳ γε;
ΤΡ. μή.

δὲ κριθὰς μόνας ἀντὶ τοῦ μὴ ἄλφιτα, ἀλλὰ μόνας κριθάς. — κριθῆς, hordei, unum genus, *hordeum vulgare*, commemorat Dioscorides 2, 108., plura Theophrastus Hist. plant. 8, 4. Plin. H. N. 18, 7, 14.: *Antiquissimum in cibis hordeum, sicuti Athenienses ritu, Menandro auctore, apparet, et gladiatorum cognomine, qui hordearii vocabantur; nunc studiosos idiotae sic appellare solent.* cf. Billerbeckii Flora class. p. 27. Voss.: *Geschrotene Gerste, Viehfutter, nicht Mehl zu Brot und Klössen.* Equ. 1109. Cleon ad populum: κριθὰς ποιῶ σοι καὶ βίον καθ' ἡμέραν.

440. ita Br. libri κεἴ τις — μὴ ξυλλάβῃ, contra usum Atticum. vide Herm. ad Viger. annot. 304, Jacobs. praefat. Anthol. Palat. pp. 49. seqq., Matth. gr. gr. §. 525, b. ceterum tangi Alcibiadem, Scholiastae aliisque visum est; nec male, modo ne de Sicula expeditione cogitassent, quae pertinet ad 19. annum belli Pelop., cum haec fabula acta fuerit 13. videndi de rebus tum gestis Thucyd. libro 5., praesertim a capite 52., Plut. Alcib. 15, 16. et historici.

442. ἐπὶ τοῦ τροχοῦ γ' ἕλκ. οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τοῦ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι ἐτύπτοντο, ἀνακλώμενοι ἐν αὐτῷ. S. cf. Plut. 871.

443. Παιών, ἐφύμνιον εἰς Ἀπόλλωνα, inquit S., h. e. εἰς Ἀπόλλωνα ἰατρόν, qui et παιὼν seu παιάν dicitur, omnis ille generis malorum cum corporis tum animi creditus ἀποτρόπαιος. cf. 544., Plut. 11., Soph. Trach. 190. seqq. etc.

444. Παιὼν — παίειν. lusus verborum, quem temere fastidit Elmsl. ad Ach. 1226. Be.: ἄφ. τὸ παίειν. propter malum omen: nam in bello caedunt et feriunt, a quo isti abhorrent maxime.

445. omisere nonnulli γὲ particulam. vide annotata ad Ran. 313., Plut. 563.

446. Ἑρμῆ etc. huc referendum ἀγαθὰ γένοιτ' ex 443.: neque enim est quod εὐχεσθε vel εὐχόμεθα suppleamus cum Be. S.: δικαίως προέταξε τὸν Ἑρμῆν, ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς Εἰρήνης. καὶ τῶν ἑξῆς δὲ εἰκότως ἐμνήσθη ὡς ἁρμοδίων αὐτῇ. ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. Ὥραις δὲ ταῖς τοῦ ἔτους, ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει καὶ τῶν ἐν αὐταῖς ἔργων. similiter Graeci in compotatione, velut, monente Be., Athen. 1. p. 36.: Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν, Ὥραις, καὶ Ἀφροδίτῃ, τὴν δὲ δευτέραν Ἀφροδίτῃ καὶ πάλιν Διονύσῳ, Ὕβρει δὲ καὶ Ἄτῃ τὴν τρίτην.

447. Ἐνυαλίῳ. ridicule, quasi

ΧΟ. ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖσιν κάλῳς.
ΕΡ. ὦ εἶα! στ.
450 ΧΟ. εἶα μάλα!
ΕΡ. ὦ εἶα!
ΧΟ. εἶα ἔτι μάλα!
5 ΕΡ. ὦ εἶα, ὦ εἶα!
ΤΡ. ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως. α. δ.
455 οὐ ξυλλήψεσθ'; οἷ' ὀγκύλλεσθ'!
οἰμώξεσθ', ὦ Βοιωτοί! α. par.
ΕΡ. εἶα νῦν!
10 ΤΡ. εἶα ὦ!
ΧΟ. * ἄγετον, ξυνέλκετον καὶ σφώ. α. δ.
460 ΤΡ. οὐκοῦν ἕλκω, κἀξαρτῶμαι,
κἀπεμπίπτω, καὶ σπουδάζω.
ΧΟ. πῶς οὖν οὐ χωρεῖ τοὔργον; α. par.

alius hic sit quam Mars. similis jocus est Plut. 392. sequ. Macrob. Sat. 1, 19.: *Bacchus enyalios cognominatur, quod est inter propria Martis nomina.* cf. Soph. Ajac. 178.

449. — μιμεῖται τοὺς βαρβαριστὶ (imo τοὺς βαρύ τι: βαρ- syllaba forte geminata per oscitationem librarii, pro βαρβαρύ τι, quod corruptum videretur, ex industria scriptum est, nisi fallor, βαρβαριστί.) ἐξείκοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀναμέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων. — S. cf. 506.

452. ἔτι μάλα. ἔτι σφοδρότερον, προθυμότερον. S. cf. 280.

454. ita Dind. vulgo ἄνδρες.

455. οἷ' ὀγκ. οἷα, φησὶν, ἐπειρείδεσθε μὲν τῷ σχοινίῳ, προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον παραβάλλεσθε (περιβάλλ. Suidas ap. Br.: ὀγκύλλεσθαι, ὑψαυχενεῖν καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι. —) καὶ ἀλαζονεύεσθε ἢ ὡς φιλοπόλεμοι δὲ οὐχ εἵλκον, ἢ ὡς ἐκσπονδοι. S.

456. Thuc. 5, 52. Τοῦ δὲ ἐπιγιγνομένου θέρους (anni 13. belli Pelop.) εὐθὺς ἀρχομένου τὴν Ἡράκλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον, ὡς οὐ καλῶς ἄρχοντα, ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον, μὴ, Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων, Ἀθηναῖοι λάβωσι. Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς. foedus junxerant Boeoti cum Lacedaemoniis exeunte anno 11. belli Pelop., itaque hoc facto utriusque partis in odia incurrebant. S.: οἰμώξεσθε. ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ τοῦ Ἀλκμαίωνος σπονδὰς αὐτοῖς φησι Φιλόχορος γεγενῆσθαι πεντηκονταετεῖς, Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων. sed hoc longe repetitum videtur, ut quod pertineat ad ver anni 11., teste Thucyd. l. l. c. 20.

459. metra non congruunt. Herm. libro de Metris p. 290.: ἀλλ' ἄγετόν γε, συνέλκετε καὶ σφώ. malim ἀλλ' ἄγετον, ξὺν δ' ἕλκετε καὶ σφώ.

460. hisce etiam Mercurii persona adscribenda esse videtur, quoniam eum quoque adhortatus est Chorus.

462, 3. ita Dind. vulgo verba πῶς — τοὔργον Mercurio, sequentia usque ad μορμόνος Choro tri-

ΤΡ. ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος. i. tr.
οὐδὲν δεόμεθ', ὦνθρωπε, τῆς σῆς μορμόνος.
465 ΕΡ. οὐδ' οἶδε γ' εἶλκον οὐδὲν Ἀργεῖοι πάλαι,
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
ΤΡ. ἀλλ' οἱ Λάκωνες, ὦ 'γάθ', ἕλκουσ' ἀνδρικῶς.
ΧΟ. ἆρ' οἶσθ'; ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
470 μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
ΕΡ. οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν· ἕλκουσιν δ' ὅμως

buuntur. de Lamacho dictum ad 304.

464. τῆς σῆς μορμ. παρὰ τὴν μορμὼ καὶ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτως δὲ ἔλεγον τὸ ἐκφόβητρον, καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολύκεια etc. S. imo Gorgonem, quam pro insigni habuit Lamachus, vocat μορμώ: vide Ach. 582., 1094., quae loca laudavit Be. et cf. infra 550.

465, 6. ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων, ὁπότε δοκοίη. αὐτοῖς. — ἀλλ' ἢ κατ. ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων ἀλλήλοις μαχομένων, ἐπείπερ παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν. ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. — περὶ δὲ Ἀργείων καὶ Φερεκράτης (Comicus, Aristophanis aequalis: vide Meineckii Quaest. scen. spec. 2. p. 31.) ἐν Αὐτομόλοις· οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι Ἐπαμφοτερίζουσ' ἐμποδὼν καθήμενοι. S. Monet Fl. Chr., propterea Lacedaemonios Argivam fidem semper suspectam habuisse, nec immerito, qui post σπονδὰς πεντηκονταετεῖς (cf. 456.) novis rebus studuerint, Poloponnesi imperium affectantes. Palmer. autem refert, secundum Thucydidem, 5, 61., ipso anno 13. belli Pelop. Argivos pacem turbasse illato Epidauriis bello cum mille Atheniensibus auxiliariis. — ἀλλ' ἢ qui sententiam, non verba, spectant, non inepte interpretabuntur ἀλλά: ceterum id quomodo possit, non una ratione explices: nam et ἐλλειπτικῶς dictum videri potest, quae Hermanni est opinio ad Viger. annot. 277., et πλεοναστικῶς, ut τούναντίον ἢ ἐκείνοις ap. Plat. Rep. 4, p. 424. extr. (cf. Matth. gr. gr. §. 450, 2.); quemadmodum et ὅτιῃ pro ὅτι dicitur ap. Atticos, quam analogiam si quis sequendam putabit, is per me scribet uno verbo ἀλλή. sed rectius, ni fallor, ἀλλ' ἢ pro ἀλλὰ dictum existimabimus per pleonasmum.

469. ἆρ' οἶσθ'; scin'? Voss.: *Weisst du?* formula loquendi familiaris, et quidem elliptica: ἆρ' οἶσθα τοῦτο, ὃ λέξω; Plautus Mil. 1152.: *scin', quemadmodum?* Terentius Eun. 2, 3, 46. *scin', quid ego te volebam?* — Br.: ὅσοι etc. optime h. l. interpretatus est Palmer., per eos qui ἔχονται τοῦ ξύλου [qui ex materiatura fabrili vivunt: v. Blomf. ad Aeschyl. Sept. ad Th. 91., Jacobs. ad Tat. p. 165., Matth. gr. gr. §. 365, 6. et cf. 494.] intelligens ξυλουργούς, qui aratra, ligones, rastros et alia pacis et arationis instrumenta faciebant et ideo pacem expetebant, quia eorum artes in pace magis expetitae et lucrosae. at χαλκεὺς, qui arma fabricabat, pacem impedire volebat, ne suum lucrum cessaret. ea expositio firmatur ex iis, quae satis facete ipsi artifices et fabri Athenn. in extrema fabula loquuntur.

470. προθ. elisa diphthongus, ut 102. etc.

471. οἱ Μεγ. socii Lacedaemo-

γλισχρότατα, σαρκάζοντες, ὥσπερ κυνίδια,
ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
ΤΡ. οὐδὲν ποιοῦμεν, ὦνδρες, ἀλλ' ὁμοθυμαδὸν
475 ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
ΕΡ. ὦ εἶα! ἀντ.
ΤΡ. εἶα μάλα!
ΕΡ. ὦ εἶα!
ΤΡ. εἶα νὴ Δία!
480 (5) ΕΡ. ὦ εἶα, ὦ εἶα!
ΧΟ. * μικρόν γε κινοῦμεν.
ΤΡ. οὐ δεινὸν
τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
πληγὰς λήψεσθ', ὀργεῖοι!
ΕΡ. εἶα νῦν!
485 (10) ΤΡ. εἶα ὦ!
ΧΟ. ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.
ΤΡ. ὑμεῖς μέν γ' οὖν οἱ κιττῶντες

niorum in bello Pelop.; de quibus sociis Thuc. 2, 9.: τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι etc. — ἕλκουσιν — γλισχρότατα, *tamen parcissime trahunt*, ut solent maligni.

472. σαρκ. Galen. in Explan. voc. Hipp. p. 556. Franz. σαρκάζειν κυρίως μὲν τὸ διὰ τῆς τῶν χειλῶν δήξεως χλευάζειν· [quod hic significatur] ὁ δ' Ἱπποκράτης καὶ τὸ ἄκροις τοῖς χείλεσι συναγομένοις ἀποτίλλειν τι. B. S.: σαρκ. οἷον, ὑποσεσηρότες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα καὶ ἀφέλκῃ τοῖς ὀδοῦσι. τὸ δὲ ὑπὸ τοῦ γε λιμοῦ ἐξολ., ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται. διὰ γὰρ τοῦτο καὶ τοὺς ἑαυτῶν παῖδας ἐπίπρασκον etc. Causa famis, quia foro Attico cavendum erat ipsis durante bello; etiam antequam bellum inciperet, cum ex edicto Periclis (Thuc. 1, 139.) arcerentur foro et portubus Atticis, statim penuria laborabant: hinc aliorum opem implorantes efficere volebant, ut illud edictum tolleretur; quae etiam praecipua causa belli fuit. *Be.*, collatis Ach. 534, 729., 751. vide inprimis ejus comoediae 528. seqq.

481. Br. μικρὸν κινοῦμέν γ'. latet aliquid. nam nullo quidem negotio scribas μικρά γε κιν.: verum ne sic quidem versus persanatus est, quippe deficiente ἐν' vel ejusmodi syllaba brevi post κιν. fortasse ponendum est μικρά γε κινῶ μήν.

486. κακόνοι. οἷον εἰ ἐχθροὶ καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην. S.

486. ὡς θαυμαστικὸν, ut 257. etc. *ut malevoli quidam sunt inter nos!*

487. ita Bentl. Dind. vid. Herm. annot. ad Viger. 296, b. pag. 827. ἀμέτρως libri μὲν οὖν, et sequ. v. ἀνδρικῶς, quod item correxit Bentl. οἱ κιττ. ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν, ἤγουν ἐπιθυμοῦντες, καὶ ἐπειδὴ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα (de hoc nihil Aristot. Hist. anim. 9, 13. cf. Schneideri lex. gr. v. κίσσα.) etc. S. cf. Etym. M. et Zonar. (2, 1216.) in κισσῶ. B.

τῆς εἰρήνης, σπᾶτ' ἀνδρείως!
ΧΟ. ἀλλ' εἶσ', οἳ κωλύουσιν.
490 ΤΡ. ἄνδρες Μεγαρῆς, οὐκ ἐς Κόρακας ἐῤῥήσετε; i. tr.
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη·
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω
ἐντεῦθεν ἐχομένοις, ὅθεν νῦν ἕλκετε·
495 οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
ἀλλ', εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε
ΧΟ. ἄγ', ὦνδρες, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί. i. t. c.
ΕΡ. χωρεῖ γε δὴ τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρες, ὑμῖν.
500 ΧΟ. χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.
ΤΡ. οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.
ΧΟ. ἄγε νῦν, ἄγε πᾶς! a.
καὶ μὴν ὁμοῦ 'στιν ἤδη. an.
μὴ νῦν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν ἀνδρικώτερον! i. t.
505 ἤδη 'στὶ τοῦτ' ἐκεῖνο. an.
ὦ εἶα νῦν, ὦ εἶα πᾶς! i. d.

490. οὐκ ἐς Κόρ. ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίσετε. πολλάκις δὲ εἰρήκαμεν, ὅτι ἐπὶ κατάρας τίθεται. S. cf. 19.

492. τοῖς σκορ. ἀντὶ τοῦ δριμύτητι, ὅτι πολλὰ παρ' αὐτοῖς σκόροδα. (cf. 246.) αἰείαν δὲ εἶχον ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἀφαγὴν τῶν πορνῶν Ἀσπασίας, καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα. S. cf. annot. ad 472. et de Aspasia elegantissimi Jacobsii disput. germ. *Beiträge zur Gesch. des weibl. Geschl. in Athen*, Att. Mus. 3. Bd. 2. St., S. 207—216. Be: *quasi alliorum acrimonia unxistis Pacem*, i. e. exacerbastis nos, ut pax turbaretur. — praeterea loquitur de Pace, tanquam de puella delicata, odorem allii aversante.

494. ἐντ. ἐχ. in hoc incumbentibus. cf. 469.

495. Athenn. φιλοδίκους Arist. cum alibi, tum in Vespis exagitat, ut monuit Fl. Chr.

496. sequ. Ingeniosum est hujus loci acumen, quo submonet Athenn., ut maritimarum opum studio se applicent, quod identidem eis suadere solebat Themistocles. *Br.*

498. οἱ γεωργοί. optimi cives agricolae. cf. annot. ad 190.

503. καὶ μὴν ὁμοῦ 'στιν ἤδη. scil. ἡ Εἰρήνη, quam e fovea extrahebant. — *Br.* legebatur olim κ. μ. ὁ. 'στιν, ἡδ' ἐγγύς, quae est interpretatio. vide, quos laudat Br., Hemsterhus. ad Lucian. t. 1. p. 448., Toup. Cur. nov. in Suid. p. 110. (t. 3. p. 152. ed. Oxon. recentiss. B.)

505. *en illud, en id ipsum.* Fl. Chr.

506. ὦ εἶα. ἀνηνέχθη ἡ Εἰρήνη.

ὦ εἶα, ὦ εἶα, εἶα, εἶα!
ὦ εἶα, ὦ εἶα πᾶς!
ΤΡ. ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος; i. tr.
510 πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον,
ὅτῳ προσείπω, φ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ', ὦ Θεωρία!
οἷον δ' ἔχεις τὸ πρόσωπον, ὦ Θεωρία!
οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
515 γλυκύτατον, ὥσπερ ἀστρατείας καὶ μύρου!
ΕΡ. μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;
ΧΟ. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας·
ταύτης δ' Ὀπώρας ὑποδοχῆς, Διονυσίων,

οὕτω γὰρ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων. S. Br. ad Lys. 665.: εἶα secunda brevi. — est adverbium adhortandi, quod saepe ap. Comicum recurrit, maxime vero in Pace 449. seqq. nb eo eadem ratione, qua alia ab aliis adverbiis verba (velut μύζειν, φεύζειν, ὤζειν, a μῦ, φεῦ, ὤ: cf. Valck. Diatr. Eurip. p. 20.), de quibus supra ad 231., formatur verbum εἰάζω. Hesych. εἰάζων, εἶα ἐπικελεύων. Εὐριπ. Χρυσίππῳ.

507. Rav. ὦ εἶ, εἶα, εἶα, εἶα, εἶα, εἶα. (508.) ὦ εἶα, εἶα, εἶα, εἶα, εἶα πᾶς. alii aliter.

509, 10. salutat extractam Pacem ejusque comites Ὀπώραν et Θεωρίαν, meretricio habitu ac vestitu in scenam prodeuntes. cf. 804., Equ. 1401. S.: βοτρ. βότρυς δωρουμένη. ὦ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς καὶ τὰ παρ' αὐτῶν ἐπίθετα. μυριάμφορον δὲ τίμιον καὶ πολυπληθῆ. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο. Be.: (ῥῆμα μυρ.) verbum, quo satis exprimam, quantus vini proventus tempore pacis esse soleat. *Wo nehm' ich es her, das Hunderttausendfuderwort, Dich damit zu grüssen?*

511. εἶχον. cf. 142., 517. etc. S.: ἄξιον τοῦ ἐπαίνου οὐκ εἶχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴ γε μέχρι καὶ τῶν τοιούτων ἐστερήτει ῥημάτων. (ita Fl. Chr. libri χρήματων.)

514. *o quam suave corde spiras intimo!* Fl. Chr.

516. γυλ. ἀγγεῖον στρατιωτικόν, εἰς ὃ τὰς τροφὰς ἄγονται. φησὶν οὖν, οὐ ταὐτὸν ὄδωδεν ὁ γύλιος καὶ ἡ Θεωρία. S. Zonar. 1. p. 460. reddit ἀγγεῖον πλεκτὸν ἀπὸ φοινίκων. *sportam* vertunt. B. S. ad Ach. 1110. γυλιὸς (γύλιος), σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. Fl. Chr.: — „erat istud πλέγμα ὁδοιπορικὸν oblongum et angusti aditus (unde postea 758. macros et oblongo collo praeditos vocat γυλιαύχενας), ne composita corrumperentur, vocabaturque ὀψοθήκη στρατιωτική." — In Acharn., l. l., Lamachus e γυλίῳ suo proferri jubet ἅλας θυμίτας, κρόμμυα et θρῖον ταρίχους σαπροῦ.

517. ἐχθροῦ φ. τοῦ στρατιώτου, quod intelligendum ex praegresso verbo simili στρατιωτικοῦ. cf. Soph. Trachin. 237., 286., 785.

518. τοῦ. τοῦ στρατιώτου. intelligendum πλέκος, vas, sporta.

519. vulgo ὀπώρας, quod ab-

520 αὐλῶν τραγῳδῶν, Σοφοκλέους μελῶν κιχλῶν,
ἐπυλλίων Εὐριπίδου...
ΤΡ. κλαύσει ἄρα σὺ,
ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥημάτιων δικανικῶν.
ΧΟ. κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
525 κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἰπνόν,
δούλης μεθυούσης, ἀνατετραμμένου χοός,

horret a tempore verno, quo acta est haec fabula.

520. τραγ., h. e. τραγῳδικῶν. vide Matth. gr. gr. §. 429, 4. vulgo: αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν. S. αὐλῶν τραγ. (male libri: αὐλῶν, τραγ.) ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται· ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς, οὓς συνίστασαν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει προσιέναι. cf. Soph. Trach. 169., 607. Ovid. Fast. 6, 659. *Cantabat fanis*, cantabat tibia ludis, *Cantabat moestis tibia funeribus*. cf. Horat. Art. poët. 202. seqq. — μελῶν κιχλῶν, *carminum turdorum*, i. e. carminum tam dulcium quam sunt turdi, ἐπῶν ὄντων κιχλῶν, quemadmodum 615. κεκράγμασι δικροῖς aliaque alibi dixit similia. cf. 838., 1006. eadem chorda oberrantes vulgati libri: μελῶν, κιχλῶν, male turdis intermixtis Sophocli atque Euripidi. sponsorem etiam hujus correctionis dabo Scholiasten, qui sic: Σοφ. μελῶν. ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. θέασαι δὲ, πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐπ' ἐκείνου μὲν λέγων μελῶν, ἐπὶ τοῦ Εὐριπίδου δὲ ἐπυλλίων. (cf. Ran. 893.) — κιχλῶν, εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισπούδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖ. haec postrema verba aut ἀπροσδιόνυσα sunt, aut conjuncte legit homo Σοφ. μελῶν κιχλῶν, *Verskramsvögel des Sofokles*. gaudet autem ejusmodi similibus, in risum compositis, poëta: vide 554., 575.

521. ita Dind. libri mendose κλαῦσ' ἄρα, vel ἄρα. Br. κλαῦσαι ἄρα σύ.

523. δικ. δικανικώτερα τὰ Εὐριπίδου, ἔχοντα πεύσεις καὶ ἀποκρίσεις. ἢ ἐπεὶ τὰ Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει. S. Euripides in Ranis, 905.: ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα, ubi vidd. annot.

524. κιττοῦ, hederae, qua crateres ipsique convivantes coronabantur. — τρυγοίπου, coli vel sacci vinarii, quo vina saccantur Voss.: *Mostseige*. cf. Plut. 1083. — προβ. βλ. quae jam tuto pascentur in agro Attico.

525. κόλπου γυν. πολλάκις ἐν εἰρήνῃ ὑπὸ κόλπους φέρουσί τι, καὶ ἁδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ ἀνθολογοῦσιν. ἀντὶ τοῦ εἰπεῖν δὲ εἰς ἀγρὸν, εἶπεν εἰς ἰπνόν. ἰπνὸς δὲ, ὃ ἡμεῖς καμίνιον καλοῦμεν. S. ἰπνὸν, furnum balnearium. (aliud est infra 796.) significantur officia domestica feminarum, quae dum obeunt, ne sibi quidem ipsis desunt, curriculo in sinu auferentes lagenam: quoniam potare inter viros non decet. B.: Recepit εἰς ἀγρὸν e Rav. Invern., et videtur antiquitus jam duplex fuisse scriptura. certe illud huc non ex inferioribus (541.) retrahi potuit. (quod putabat Br.) etc.

526. χοὸς Suid. h. v. libri mendose χοῶς. ἀνατ. χοῶς. ἀνακαλυφθέντος εἰς γῆν, ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι εἰώθασι ποιεῖν. S.

ἄλλων τε πολλῶν κἀγαθῶν.

ΕΡ. ἴθι νυν, ἄθρει,
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι,
530 καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι, καὶ κυάθοις προσκείμεναι.

ΤΡ. καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας.

ΕΡ. αἰβοῖ τάλας,
ἐκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
535 τίλλονθ' ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινονί.

ΤΡ. ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται,
καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;

ΕΡ. ἴθι νυν, ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.

540 ΤΡ. ἀκούετε, λεώ· τοὺς γεωργοὺς ἀπιέναι,
τὰ γεωργικὰ σκεύη λαβόντας, εἰς ἀγρὸν

530. ὑπωπ. σφοδρῶς πληγεῖσαι ὑπὸ τοῦ πολέμου, παρὰ τὰ ὑπώπια, ἃ εἰσιν ἐκκαύματα (fort. ἐγκαύματα) ὄψεων καὶ κρούσματα, ἅπερ κορδύλας φασίν. S.

531. κυάθοις. τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις τὰ ὑπώπια ἀνατρίβοντες ἀφανῆ ποιοῦσι. τοιούτοις γὰρ τοὺς ἐκ τῶν πληγῶν ἐθεράπευον μώλωπας. S. Cyathos calida impletos (cucurbitulae solent vocari) admovebant ejusmodi tumoribus, ut detumescerent. cf. Lys. 445. *Ex Be.*

533. ἵνα γνῷς. ἵνα διαγνῷς καὶ διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσι, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσι καὶ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ ἱλαροί. S.

535. τίλλ. ἑαυτόν. τίλλειν ἑαυτὸν λέγεται τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. — S. — Tim. lex. Plat.: σμινύην οἱ μὲν δίκελλαν, οἱ δὲ ἀξίνην καλοῦσιν. cf. Harless. ad Nub. 1476., Schneider. in lex. gr. h. v. *ligones*, *Hacken.*

536. κατέπαρδεν. cf. Plut. 613. Horat. Sat. 1, 9, 69. *vin' tu Curtis Judaeis oppedere?* ibi Porphyr.: oppedere, *contemnere eos ac religiones eorum deridere.* — libri κεινονί, quod abhorret ab usu Comicorum. vid. Elmsl. ad Eurip. Med. 88. recte scripserunt 'κεινονί.

538. ἐσκιμ. τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει. ἢ κατεδακτύλισε. — S. σκιμαλίζειν hic est καταδακτυλίζειν et ἐφυβρίζειν, i. e. contumeliose irridere et in contemtum digitum medium ostendere, qui infamis vulgo existimatur, id gallico idiotismo dicitur *faire la figue. Ex Fl. Chr.* Voss.: *Und dem Lanzenschäfter, wie er dem hohnfingerte?*

539. ἀνειπεῖν proprium est praeconibus aliquid proclamantibus. vid. Demosth. de Cor. t. 1. p. 244. *Reiske.*

540. ἀπ. λεώ. formula praeconum, de qua praeter aliôs monuit Bentl. Opusc. philol. p. 261. ed. Lips. τοὺς γ. ἀπιέναι. intell. κελεύω. vid. B. ad Ach. 448.

ὡς τάχιστ', ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου·
t. t. c.
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.

545 ΧΟ. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους·
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.

ΤΡ. νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶτον τῇ θεῷ,

550 ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γοργόνας·
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

ΕΡ. ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται,
καὶ πυκνὸν καὶ γοργόν, ὥσπερ μᾶζα καὶ πανδαισία!

543. σαπρᾶς. παλαιᾶς καὶ ἀρχαίας, inquit S. vix adducor, ut homini assentiar, qui nusquam σαπρὸς in bonam partem acceptum repererim. vide Plut. 319. (ἀρχαῖον καὶ σαπρόν), 538., 809. etc. quodsi igitur hoc dedit Arist., mire jocatus est, nec, ut solet. quare fuit, cum scribendum existimarem εἰρήνης ἁβρᾶς (εἰρήνης σαβρᾶς, εἰρήνης σαπρᾶς). β et π nonnunquam misceri docuit Bast. Append. ad Epist. crit. p. 28. cf. Eurip. Hel. 1385. apte Pax ἁβρὰ opponitur Bello τῷ δεινῷ, τῷ τάλαιπωρίνῳ. (241.)

544. παιων. εὐξάμενος τοῖς θεοῖς, ὁμολογήσας χάριν. παιὼν (seu παιάν) γάρ ἐστιν ὕμνος εὐχαριστήριος. S. Soph. Oed. R. 180. παιὰν δὲ λάμπει στονόεσσά τε γῦρυς ὅμαυλος. ubi Schol.: λέγεται (ὁ παιὰν) πρὸς ἀποτροπὴν τῶν κακῶν. cf. ibid. 5., Eurip. Alc. 411., Blomf. ad Aeschyl. Sept. ad Th. 632. gloss., et Elmsl. ad Acharn. 1226., qui qua de causa usum formae παιὰν abjudicet a Comicis, parum intelligo.

545. οἱ γεωργοὶ ταῦτά φασι πεισθέντες τῷ κηρύγματι. S. h. e. ὦ ἡμέρα ποθ. καὶ γεωργ. τοῖς δικ. de agricolarum laudibus cf. 190., 498. seqq. καὶ γ., etiam agricolis, ut illis, quos nominavit 535. et 537.

547. ἃς — νεώτερος. περισπούδαστα γὰρ πᾶς ἡγεῖται ἅπερ ἂν αὐτὸς ἐργάσηται. διὰ τοῦτον δὲ τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευε συκᾶς, ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε πολλῷ (πολλοστῷ) χρόνῳ. S.

548. ita margo edit. Basil. a. 1532., Be. Br. Invern. Dind. primae 3 ἡμῖν γὰρ ἐπὶ πολλ. χρ.

550. τὰς Γοργ. Lamachi. cf. 464. S.: πᾶν σπεῦος ἁρμόζον ἐν πολέμῳ.

551. εἶθ' ὅ. λιτ. εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ συντόμως δραμούμεθα. παρὰ τὸ λίαν ἀργόν. (?) S. ὅπως λιτ. vid. Matth. gr. gr. §. 520, 4. λιταργίζειν Hesychio valet τροχάζειν, Photio p. 166. τρέχειν. cf. Fl. Chr. et B. „χωρία sunt praedia, villae.“ B.

552. ἐμπολ. cf. 438.

554. γοργόν, alacre, promtum, animosum. S.: καὶ γοργόν. ἐπεὶ διὰ χρόνου ἐξιόντες ἐσπευδον. μᾶζα καὶ παν δ. πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ

555 νὴ Δί· ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλισμένη,
αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον·
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ κἀντὸς ἐλθεῖν εἰς ἀγρὸν,
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.
560 ἀλλ' ἀναμνησθέντες, ὦνδρες, τῆς διαίτης τῆς παλαιᾶς, t. t. προῳδ.

ἐστιν· ὁ στρυφνὸς ἄρτος. — de hoc vide 1. ceterum intelligas velim πυκνὸν, ὥσπερ μᾶζα: γοργὸν, ὥσπερ πανδαισία. πανδαισίαν ipsam ridicule dicit γοργὸν, alacrem, quoniam alacres ad epulandum esse solent homines. Plautus Poen. 398. *at si ad prandium me in aedem vos dixissem ducere, Vinceretis cervom cursu vel clavatorem gradu.*

555. sequ. σφῦρα Dind. vulgo σφύρα claudicante versu. λαμπρὸν, λαμπρῶς. ἦν dictum ut ἀπέπτυσα 517. etc. *Ja beim Zeus, denn hergerüstet ist der Schlägel glänzendhell.* S.: νοῆσαι δεῖ τὸν Χορὸν σφύραν ἔχοντα, αἷς βωλοκοποῦσι, καὶ θρίνακας, καὶ σκεύη ἄλλα γεωργικὰ, δι' ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν. non huc pertinet, quod ab alio additum legitur, θρίνακες, τὰ πτύα, ἐργαλεῖον, ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα etc., etsi idem cantant Suid. et Zonar. 2, 1052. recte Br.: — „quis fando audivit aut vidit unquam fulgentia ventilabra? tum quis ventilabri usus ad vitium et ficnum conserendorum ordines? θρίνακες sunt τρίαιναι, *tridentes rastri*, seu *ligones*, idem fere quod δίκελλαι. mox τριαινοῦν τῇ δικέλλῃ. vid. Hesych. in θρίναξ. τριαινοῦν est *terram vertere*, τὸ ἄνω κάτω ποιεῖν. pro *diruere*, *evertere*, utitur Eurip. Bacch. 306."

557. μετόρχιον. τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν καὶ τῶν ἀμπέλων. — S. monet Fl. Chr., id spatium sive intervallum inter vites ordinarias oleas, aliasque arbores, inter quas sementem faciebant, *interordinium* vocari a Columella, de R. R. 3, 13, 3., quo modo Vitrnv. 3, 1. et alibi dixerit *intercolumnium:* nam ὄρχους sive ὀρχάτους esse ordines in quincuncem digestos, παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. (ita Suidas; sed vid. Schneider. lex. gr. v. ὄρχος.) B. secundum Reiskium: Hoc vult: *profecto bene ab iis discedet, abibit, interordinium*, i. e. bene curabunt (θρίνακες istae) agri consitionem.

559. γήδιον ὑποκορεστικῶς ἀντὶ τοῦ τὴν γῆν. — S.

560. seqq. haec vulgo in dimetros troch. acat., unum ejusmodi monometrum, et dimetrum cat. in fine, divisa leguntur, nec uno modo; cum facile intelligatur, assurgentem orationem a trochaïcis t. cat. ad similes acatalecticos, gravissimum metri genus, progredi rectius quam ad dimetros, leves illos et velut ludibundos, more Anacreontis (vid. Gaisford. ad Hephaest. p. 261.). huc accedit, quod ista ratione verba

τῆς ἰωνιᾶς τε τῆς πρὸς

peculiarem versum efficiunt, finitum praepositione, quae ad articulum, quo sequens versus incipit, referenda est; quod durissimum. denique nemo monitus dubitaverit, quin verba ἀντὶ τούτων — προσείπατε conjungenda sint in unum t. t. o., ut factum videmus in Rav.; quae aptissima est clausula hujus προῳδοῦ. sic etiam infra 629. seqq. et ap. Sophoclem et Tragicos graecos, item Latinorum poëtas scenicos, non semel restituendos es-

ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν, τῶν τε παλασίων ἐκείνων,
τῶν τε σύκων, τῶν τε μύρτων, τῆς τρυγός τε τῆς γλυκείας,
τῆς ἰωνιᾶς τε τῆς πρὸς τῷ φρέατι, τῶν τ' ἐλαῶν,
ὧν ποθοῦμεν, t.
565 ἀντὶ τούτων τήνδε νυνὶ τὴν θεὸν προσείπατε! t. t. c.
ΧΟ. χαῖρε, χαῖρ', ὦ φιλτάτη! t. d. c. ἀνομοιόστρ.
ὡς ἀσμένοισιν ἡμῖν ἦλθες. i. d. h.
σῷ γὰρ ἐδάμημεν πόθῳ, t. d. c.
δαιμόνια βουλόμενοι εἰς ἀγρὸν ἀνερπύσαι. pae. t.

se vidi octonarios trochaïcos, vide Soph. El. 1210., Oed. R. 631., Oed. Col. 1140., 1571., Plaut. Amph. 4. seqq., Terent. Andr. 2, 1, 7. etc. ἐμφατικὸν illud ὧν ποθοῦμεν Dind. quoque proprio versu extulit. — jubet autem Trygaeus agricolarum Chorum gratias agere Paci, quae tot eos bonis olim cumulaverit, quorum ut jam denuo participes fiant optat.

561. παλασ. τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλάθων (imo παλαθίων). παλάθη δὲ εἶδος βοτάνης. S.: — Hesych.: πλασία (scrib. παλάσια), τὰ συγκεκομμένα σῦκα, καὶ διὰ τοῦ θ' πλάθια (scrib. παλάθια), καὶ παλάθη. Phot.: παλάσια, τὰ συγκεκομμένα σῦκα. — εἰσὶ δὲ ἐξ ἰσχάδων ἢ σύκων κεκομμένοι βῶλοι πλινθοειδεῖς. *E Br.* Voss.: *jener festgeballten Welkfrucht.* (?)

562. non solum τρὺξ est faex vini et subsistentia (Graeci ὑποστάθμην vel ὑπόστασιν vocant), sed etiam novum mustum, ἀπὸ ληνοῦ ἀδιήθητον, inquit Hesych., ut h. l. recte autem cum vino jungit ficus: nam ficuum tanta fuit apud vett. commendatio, ut secundum a vite locum obtinuerit, et merito Hipponax dixerit συκῆν μέλαιναν ἀμπέλου κασιγνήτην etc. *Fl. Chr.*

563. ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων, ὡς καὶ τῶν ῥόδων ῥοδωνιά, ὅπου τὰ ῥόδα φύεται, (hisce additur tertium κρινωνιά ex Hesych., Suid. et Theophr. H. Pl. 6, 6.) ἄνθος δὲ τὸ ἴον διάφορον μορφὴν ἔχον· ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρᾶ, ἃ δὲ λευκὰ, ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων (vel scrib. τὸ τῶν ἴων, vel τὸ ἴον) θαυμαστόν ἐστιν, ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν. S. Fl. Chr.: — dixit Virg. (Georg. 4, 32.) *irriguumque bibant violaria fontem.* expressum ex his Aristophanis: nam τὸ φρέαρ *fontem* esse facile credo cum Grammaticis etc. cf. Plut. 806. et de violis Billerbeckii Flor. class. p. 45. sequ. — S.: τῶν τ' ἐλ. olivae, quae Minervae sacra erat, Attica feracissima, ut notum est.

564. ὧν, *quorum* omnium, quae commemoravi.

566. cantio in honorem Pacis. — perperam libri φίλταθ', ὡς ἀσμένοισιν etc. S. φίλτατε pro φιλτάτη.

567. ἀσμ. ἡμῖν, *nobis volentibus, exoptata nobis.* conferri jubet Be. Soph. Trach. 18. „formulam ἀσμένοις ἡμῖν ἦλθες illustrant Wyttenbach. Epist. crit. p. 27. sequ. p. 247, ed. Schäf. et Porson. ad Eurip. Phoen. 1061." B. vide etiam Soph. Phil. 251. et, monente Dobr., Aeschyl. Prom. 23.

568. ἐδάμημεν πόθῳ, ut θεομανεῖ λύσσῃ δαμεὶς Eurip. Or. 817., κόπῳ δαμέντες Rhes. 724. etc.

569. bene Dind. edidit δαιμόνια, i. e. δαιμονίως (cf. 530., Plut. 670.), pro insulso δαίμονα, quod habent

570 ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν κέρδος, ὦ ποθουμένη as., gl. h. et t. d. c.
πᾶσιν, ὁπόσοι γεωργὸν βίον ἐτρίβομεν· pae. t.
μόνη γὰρ ἡμᾶς ὠφέλεις. i. d.
πολλὰ γὰρ ἐπάσχομεν πρίν ποτ' ἐπὶ σοῦ γλυκέα, pae. t.
κἀδάπανα, καὶ φίλα. pae. d. Anth. 8, 85.
575 τοῖς ἀγροίκοισιν γὰρ ἦσθα χίδρα καὶ σωτηρία, t. t. e.
ὥστε σὲ τά τ' ἀμπέλια, καὶ τὰ νέα συκίδια, pae. t.
τἄλλα θ' ὅσσ' ἐστὶ φυτά, pae. d.
προσγελάσεται λαβόντ' ἄσμενα. pae. tr.
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον t. t, c.

libri, praeterea nihil mutandum est. S.: ἀνερπύσαι, ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ τῇ γαστρὶ εἰλεῖσθαι. ὅθεν καὶ ἑρπετόν.

570. non desunt metra ejusmodi asynarteta apud hos poëtas, quorum metrorum quaedam recensui in indice metrico Sophoclis nuper publicati. quare non est quod scribamus, id quod Fl. Christiano aliisque placuit, trochaïcum obtrudentibus poëtae, ἦσθα γὰρ μέγιστον etc. — S.: ἐπεὶ ἡ εἰρήνη πλείω πάντων τοῖς γεωργοῖς συμφέρει.

571. codd. metro nullo γεωργικόν. γεωργὸν et elegans est (vide 520.), et id, quo saepius hic usurpatus restituitur versus paeonicus. interpretis est γεωργικόν. — βίον ἐτρ. cf. Plut. 522.

572. μόνη, sola, h. e. inprimis. Soph. Oed. R. 283. ᾧ Τάληθὲς ἐμπέφυκεν ἀνθρώπων μόνῳ. cf. 714., Antig. 763., Oed. Col. 227. Terentius Andr. 5, 6, 9.: *solus es, quem diligunt di*, etc.

574. suaderem φίλια, quo compleretur numerus paeonicus, nisi 578. quoque versus similis finiretur dactylo, idque pariter in fine strophae, ubi major est licentia. — S. κἀδάπ. ἐκ τῶν ἀγρῶν γὰρ πάντα εἶχον αὐτόματα· ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. —

575. χίδρα (χίδρον) τὸ ἀπὸ ἐλύμου γινόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν· ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν· ἢ εἶδος βοτάνης. ἐκ τούτου δὲ δηλοῖ τὴν εὐετηρίαν. ἄλλως. ἐρεικτὰ ἐκ κριθῆς νέας γινόμενα. S. — Fruges novellas vel farinas ex leguminibus exponit Hesych., qui ait σῖτος νέος φυόμενος (corrige φυττόμενος: nam alibi vocat ἐρεγμὸν πεφρυγμένον): est enim legumen (?) fresum ex ordeo maxime. — *Fl. Chr.* χίδρα edulium ex hordeo freso recenti. (Voss.: *Uns den Feldanbauern, warst du* Gerstensang' *und Wohlergehn*, et in annot.: *Sangen*, gerösstete Gerstenähren etc.) Pacem dicit rusticis fuisse χίδρα, quia tempore Pacis haberi possunt recentes fruges ad paranda χίδρα, et quia valde delectabantur illo cibi genere. In Equ. 803. de rusticis εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν Εἰρηναῖος διατρίψῃ, Καὶ χίδρα φαγὼν ἀναθαῤῥήσῃ etc. *Be.*

577. ὅσσ' pro ὅσ ponendo versum sanavimus. aliena non est forma ὅσσος ab usu poëtarum Att., praesertim in melicis. Soph. Phil. 484. ἄθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων, ubi vidd. annot.

578. quod in libris legitur, εἰ post προσγελάσεται, male illud quidem ex superioribus huc illatum, metroque inimicum paeonico, Porsonus ad Eurip. Hec. 1141. in Add. aliique deleverunt. pejus etiam membr. Paris. Ald. Br. προσγελάσονταί σε.

580 ἥδε, τοῦθ' ἡμᾶς ἐδίδαξον, ὦ θεῶν εὐνούστατε.
ΕΡ. ὦ λιπερνῆτες γεωργοί, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ', ὅπως ἀπώλετο.
* πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς·
εἶτα Περικλέης φοβηθεὶς, μὴ μετάσχῃ τῆς τύχης,

581. ita Diod. Sic. 12, 41. probante Wesselingio, ut monuit Dobr, vulgo: ὦ σοφώτατοι γεωργοί. Bentl.: „vet. ed. ὦ πενῆτες καὶ γεωργοί. lege ergo ὦ λιπερνῆτες. vid. Schol. Hesych. Suid." etiam ap. Diodorum ante Wesselingium legebatur ὦ πενῆτες καὶ γεωργοί. S.: τἀμὰ δὴ ξυνίετε. πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν· ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἔστι δὲ πρὸς τὰ (τό) Ἀρχιλόχου· ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε Ῥήματα. (Eupolis, monente Be., ap. Stob. Serm. 4. p. 113. ed. Schow.: ἀλλ' ἀκούετ', ὦ θεαταί: τἀμὰ καὶ ξυνίετε Ῥήματ' etc.) ὁ Ἑρμῆς δέ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ Χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καί φησι πρῶτον γεγονέναι Φειδίαν.

583. laborat versus, nec satis est scribere ἦρξεν αὐτῆς obscura sententia. Dindorfio placuit ἦρξεν ἄτης, cujus lectionis quo apertior est sensus, eo minus verisimile videtur eam potuisse depravari, idque etiam verbis temere transpositis. quare equidem malim αὐτός, h. e. μόνος, ut apud Euripidem Phoen. 1245. ed. Pors. et alibi saepius initio *solum* Phidiam afflictum fuisse dicit (ἦρξε πράξας κακῶς); mox Periclis artibus *totam civitatem Atticam* conflagrasse. frequens error in extremis syllabis vocabulorum, per compendium scribi solitis. S.: Φειδίας. Φιλόχορος ἐπὶ Πυθοδώρου ἄρχοντος (vid. Siebelis ad Philochori reliqu. p. 54., ubi ostenditur, praeeuntibus Palmerio et Corsinio, pro Pythodoro ponendum esse Theodori nomen. B.) ταῦτά φησι. καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν (Parthenona in arce Athen.: vide Thuc. 2, 13., Paus. 1, 24. etc.), ἔχον χρυσίον σταθμὸν ταλάντων μδ' (imo 40. secundum Thuc. l. l.), Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα (scrib. τὸν χρυσόν. alius Schol.: — Φειδίας, ὡς Φιλόχορός φησιν, ἐπὶ Πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς etc.) τὸν εἰς τὰς φολίδας, ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων ἐπὶ Σκυθοδώρου, ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος, περὶ Μεγαρέων εἰκών, ὅτι καὶ αὐτοὶ κατεβόων Ἀθηναίων παρὰ Λακεδαιμονίοις, ἀδίκως λέγοντες εἰργεσθαι ἀγορᾶς καὶ λιμένων τῶν Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι ταῦτα ἐψηφίσαντο Περικλέους εἰπόντος, τὴν γῆν αὐτοὺς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς (fort. ταῖν θεαῖν. alius S. ad h. l.: — ἐγκαλέσας [Pericles] Μεγαρεῦσιν, ὡς τὴν ἱερὰν ὀργάδα ταῖν θεαῖν ἐργασαμένοις. cf. Schneider. lex. gr. v. ὀργὰς et, quem laudavit, Ruhnken. ad Tim. p. 195.) ἀπεργάζεσθαι. —

584. εἶτα ὁ Περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ. ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ, ἐπεὶ καὶ ἐργεπιστατεῖν παρὰ τῶν Ἀθηναίων κεχειροτόνηται. φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς, ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον, ἐλπίσας ταραχῆς γενομένης, καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων τῶν Ἀθηναίων, εὐθύνας μὴ ἔχειν. S. Vana haec et

585 τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδᾶξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν·
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
ἐξεφύσησεν τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ, τούς τ' ἐνθάδε.
590 ὡς δ' ἅπαξ τοπρῶτον ἤκουσ', ἐψόφησεν ἄμπελος,
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ·
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
ΤΡ. ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενὸς,

a Comicis conficta esse ait B., cum alios ille secutus, tum Meinersium libro germ. *Gesch. der Wiss. in Griech. u. Rom*, t. 2. p. 234. sequ. quidam in scholiis: ἄλογος δὲ φαίνεται ἡ Περικλέους ὑπόνοια, ἑπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων: ubi B.: „nempe si Theodoro archónte, Ol. 85, 3. [ante Chr. nat. 437. vel 438.] Minervae simulacrum dedicatum est.“ nec sane haec vel digna habuit Thucydides, quae commemoraret; vel Plut. in vita Periclis aut Diod. Sic. libro 12. et Athen. 3, 13., quos laudavit Fl. Chr., pondus iis addiderunt suis testimoniis. at tamen nullum in hisce rebus momentum fuisse, minime contenderim; neque ita existimare video Joh. Müllerum (*Vier und zwanzig Bücher allg. Geschichten*, vol. 1. p. 143.), Bredowium (*Handbuch der alt. Gesch.* p. 327.), Beckerum (*Weltgeschichte*, 5. verbess. Ausgabe, 1. Th. S. 134.), aliosque. imo fuerunt haec artificia inimicorum cum Periclis, tum ipsius reip. Athen., vulgo ignota; id quod ipse Trygaeus significat et Chorus 593. seqq. ceterum cf. 472.

585. τὸν αὐτοδᾶξ. τὸν ἐμπεσόντα καὶ δάκνοντα, αὐθάδη, ὀργίλον· ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὀδόντας. οὐδὲν ἢ δάκνειν βλέποντα. S. *contumaciam, iracundiam.* — Lys. 690. αὐτοδᾶξ ὠργισμένος. — *Be.*

586. ἐξέφλεξε, *penitus incendit:* nam αὐξητικὸν est τὸ ἐκ, ut passim.

587. ἐμβαλὼν etc. asyndeton ἐξηγητικόν, de quo Matth. ad Eurip. Hecub. 777., nos ad Bacch. 237., Heraclid. 176. etc. — cf. 472.

588. ita Suid. MS. et ejus ed. Mediol. v. ἐξεφύσησε, ut Dobr. annotavit; item K. Br. etc. vulgo codd. ἐξεφύσησε γὰρ, quod eorum facinus est, qui nescirent, verbi φυσᾷν primam syllabam produci. S. ἐξεφ. γάρ. ἐξεκίνησεν, ἐτάραξεν. ἐξῆς δὲ ἀπὸ τοῦ σπινθῆρος τὸ φυσᾷν ἔλαβε. καπνῷ δὲ τροπικῶς εἰκὼν ἐπέμεινε διόλου τῇ τροπῇ. S.

589. τούς τ' ἐκεῖ, τ. τ' ἐνθ. *et eos, qui illic, et qui hic sunt*, h. e. et Lacedaemonios, et Athenienses.

590. ἤκουσε τοῦ πολέμου. ἐψοφ. *crepuit*, turbavit, tumultuatus est. Be.: „De vite loquitur tanquam de animali, more Aesopico.“ ita et de doliis. vult autem dicere, agros esse vastatos et vites excisas“ etc. S.: οἰκείως, πρὸς τοὺς γεωργοὺς λέγων, τοιαύταις τροπαῖς ἐχρήσατο etc.

591. πληγεὶς, cadus percussus ab altero cado. Voss.: *und das Fass, vom Schlage zornig, schlug zurück aufs andre Fass.*

592. ἥδε δ' ἠφ. — καὶ οὕτως ἡ εἰρήνη παραπώλετο. S.

593. seqq. vid. annot. ad 584.

οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόη.
595 ΧΟ. οὐδ' ἔγωγε πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.
ΕΡ. κᾆτ' ἐπειδὴ ᾔγνωσαν ὑμᾶς αἱ πόλεις, ὧν ἤρχετε,
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν, τοὺς φόρους φοβούμεναι,
600 κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
οἱ δ', ἅτ' ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι,
τήνδ' ἀποῤῥίψαντες αἰσχρῶς τὸν Πόλεμον ἀνήρπασαν.
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά·
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι

594. *nec, quomodo haec ad Phidiam pertineret, audiveram.* cf. annot. ad 596.

595. ἦν, fuit et adhuc est. cf. 142. Fl. Chr.: *jure est ergo formosissima.*

596. οὖσα συγγ. ἐπειδὴ προεῖπεν οὐδ' ὅπως — ἠκηκόειν, πρὸς τὸ προσήκοι τὸ συγγενὲς (συγγενὴς) ἐπήγαγε· προσήκοντες γὰρ λέγονται οἱ συγγενεῖς. (Be.: — attinebat Phidias ad Pacem, quia occasione statuae a Phidia factae pax erat turbata [vide annotata ad 583. sequ.]; nunc autem ita loquitur, quasi προσήκειν [594.] acceperit pro *contingere aliquem cognatione.* itaque Pacem *pulchram* esse dicit, quia Phidiae, qui pulchras statuas faciebat, sit cognata etc.) τὸ δὲ ἠκηκόειν οὕτω Φρύνιχος διὰ τοῦ η ἀναγινώσκει (Attice). συγγενῆ δὲ εἶπε τὸν Φειδίαν Εἰρήνης, καθὸ τεχνίτης ὁ Φειδίας· εὔμορφος δὲ εἰσάγεται ἡ Εἰρήνη οὖσα. —

598. σεσηρ. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις. S. σαίρειν dicuntur canes exacerbati, h. e. ringere, ore hiare. v. Zonar. 2, 1237. et Phot. p. 375. annotavit B.

599. τοὺς φόρους. ἐδόκουν γὰρ οἱ Ἀθηναῖοι ἐν τῷ καιρῷ τοῦ πολέμου ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους, οὓς ἐτέλουν οἱ ὑπήκοοι. S. Thuc. 1, 99. αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων, καὶ μέγιστα αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποστράτιον, εἴ τῳ ἐγένετο. οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας etc.

601. αἰσχροκ. ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ Λάκωνες, δῆλον ἐκ τοῦ χρησμοῦ ἃ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις. διειρων. ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποίουν, παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος. S. conferri jubent his de rebus Plut. Instit. Lacon. §. 12., Eurip. Androm. 440. seqq., aliosque. ipse Comicus Av. 1012.: ὥσπερ ἐν Λακεδαίμονι, Ξενηλατοῦνται etc., ubi vidd. interpp., collato G. G. S. Köpkii libro germ. de legibus et judiciis Graecorum pagg. 197. sequ.

602. ἀνήρπ. cupide arripuerunt.

603. τοῖς γ. colonis Lacedaemoniis.

604. αἱ ἐνθένδε τρ. hinc (i.

605 οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰς κράδας κατήσθιον.
ΧΟ. ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γέ μου
ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.
ΤΡ. νὴ Δί', ὦ μέλ', ἐνδίκως γε δῆτ', ἐπεὶ κἄμοῦ, λίθον
ἐμβαλόντες, ἐξμέδιμνον κυψέλην ἀπώλεσαν.
610 ΕΡ. κἄτα δ', ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν ὀὐργάτης λεὼς,
τὸν τρόποθ' πωλούμενος τὸν αὐτὸν οὐκ ἐμάνθανεν,
ἀλλ', ἅτ' ὢν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς ἰσχάδας,

e. Atheniensium) triremes. vide Thuc. 2, 25., Bredowii *Handb. d. alten Gesch.* p. 328. etc.

605. ἂν. cf. 618. τὰς κρ. κατ. καὶ αὐτοὶ ἀντέκοπτον τὰς συκᾶς, ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. κράδη δὲ εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή etc. S. sunt κράδαι *ficus agrestes*, ut censent Nicandri Schol. et Pollux Onom. (4, 129.; 6, 40. add. Zonar. t. 2. p. 1248. et 1252. rami quoque ficuum κράδαι dicuntur. vid. Bod. a Stapel ad Theophr. H. Pl. p. 496. B.) etc. *Fl. Chr.* cf. Schneideri lex. gr. v. κράδη.

606. κορώνεων (a κορώνεως), ὡς φιβάλεων. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν Ἀχαρνεῦσι. (scrib. — Ἀχαρνεῦσι· φιβάλεως ἰσχάδας; vid. Ach. 809.) ταύτην δὲ κοράκιον λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα. S. similiter Suidas v. κορώνεως.

607. sequ. ita Bentl., Dawes. Misc. crit. p. 284., Porson. ad Hecub. 1169. etc. libri versibus pessumdatis ἐγὼ φυτεύσας ἐξεθρ. — ἐνδίκως δῆτά γ', ἐπεὶ κ. λίθον, vel, quod pejus etiam, τὸν λίθον, ut Ald. et K.

609. suspicatur Dobr., scribendum esse potius ἑκμέδιμνον, ut ἔκπλεθρος, ἔκπους, ἔκπηχυς, ἔκμηνος, alia, more Attico. vid. Elmsl. ad Eurip. Med. 1150. S.: ἐξμ. κυψ. ἓξ μεδίμνους χωροῦσαν κυψέλην. ἔστι δὲ εἶδος ἀγγείου ἢ μέτρου δεκτικὸν πυρῶν ἢ κριθῶν. — οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι· διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι.

610. διὰ γὰρ τὰς συνεχεῖς τῶν πολέμων (πολεμίων) εἰσβολὰς ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν οἱ ἀπὸ τῶν ἀγρῶν. S.

611. ita Dind. secundum Schol.: nam codd. Aristoph. ἐλάνθανεν. S.: ἐὰν μὲν ἢ οὐκ ἐλάνθανε, σεμνολογεῖ λελυθότως αὐτοὺς, ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλαβὰς τῶν ἐν τῇ πόλει τραφέντων, καὶ ταῦτα ἀγροίκους ὄντας. ἐὰν δὲ οὐκ ἐμάνθανε, φησὶν, ὅτι ὁ ἄγροικος λεὼς μετοικισθεὶς εἰς τὰς πόλεις συνῆκε (imo οὐ συν.) τῆς τῶν προδιδόντων πονηρίας, ἀλλ' ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος καθάπερ οἱ συνήθως ὑπ' αὐτῶν πολιτευόμενοι. (imo πωλούμενοι, *tanquam illi, qui more deciperentur* ab oratoribus et demagogis, h. e. urbani, quorum hi quotidie aures obtundebant.) — de λ et μ litteris confusis vide Schäf. Mel. crit. p. 95., Eur. Suppl. 1175., Iphig. T. 98., quo quidem loco λάθοιμεν pro μάθοιμεν ponendum esse intellexerunt viri docti, etc. ceterum τὸν αὐτὸν τρόπον non est *eodem modo*, *ut urbani*, sed *eodem modo*, *ut antea*, *cum ipsi in agris degerent*, sentiebant agricolae, non melius agi secum, sive ruri sive in urbe essent.

612. γιγ: τῆς σταφυλῆς. διὰ τὸ ἀποστερεῖσθαι τῆς συνήθους διαίτης, καὶ ἀνακεχωρηκέναι ἐκ τῶν ἀγρῶν, καὶ ἐπιθυμεῖν αὐτῶν. — S. pro *uvis* dixit γίγαρτα, h. e. grana acinorum, ut monuit Fl. Chr.: nam maxima agricolarum Atticorum praesidia ad vivendum erant uvae atque ficus.

ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δὲ, γιγνώσκοντες εὖ
τοὺς πένητας ἀσθενοῦντας κἀποροῦντας ἀλφιτων,
615 τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι,
πολλάκις φανεῖσαν αὐτὴν τῇδε τῆς χώρας πόθῳ·
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
αἰτίας ἂν προστιθέντες, ὡς φρονεῖ τὰ Βρασίδα·
εἶτ' ἂν ὑμεῖς τοῦτον, ὥσπερ κυνίδι, ἐσπαράττετε·
620 ἡ πόλις γὰρ ὠχριῶσα κἂν φόβῳ καθημένη,
ἅττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.

613. ἔβλ. πρ. τ. λεγ. *respiciebat oratores*, fidebat iis.

614. ἀσθ. ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας. τὴν γὰρ τύχην ἰδίως νόσον καλοῦσι. κἀπ. ἀλφ. φαίνονται, ὅτι συνελθόντες εἰς τὸ ἄστυ ἐπένοντο μὴ γεωργοῦντες. S.

615. δικροῖς. δικράνοις. ἔδει δὲ εἰπεῖν ξύλοις δικράνοις, τουτέστι διφυέσιν· ὁ δὲ εἶπε δικράνοις (δικροῖς) κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι τὴν εἰρήνην. S. cf. annot. ad 520.: nam κεκράγματα δικρᾶ sunt κεκρ. ὄντα δικρᾶ, i. e. furcis similia sive ea, quibus utare tanquam furcis. — „notum proverb. δικράνοις ὠθεῖν, *furcillis ejicere*, sive, ut Hor., *expellere furca*. Lucian. Tim. 12. καὶ μονονουχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας." *Ex Be.*

616. αὐτὴν, ipsam, sponte, neque expetitam ab Atheniensibus. S.: πολλ. φαν. μετὰ γὰρ ἐν Πύλῳ ἐπρέσβευσαν περὶ διαλλαγῶν Λακεδαιμόνιοι· οἱ δὲ Ἀθηναῖοι οὐ προσεῖχον. S. cf. 640.

617. verbum σείειν eximie dici de sycophantis, quī alios vexant et exagitant, ostendit Phot. lex. p. 373. B. — τοὺς παχεῖς, obesos, pingues, quales fere sunt opulenti. Horat. Epist. 1, 4, 15. *me pinguem et nitidum bene curata cute vises.* Vesp. 287., monente Be: καὶ γὰρ ἀνὴρ παχὺς ἥκει Τῶν προδόντων τἀπὶ Θρᾴκης, ὃν ὅπως ἐγχυτριεῖς. Idem: „Maxime autem," inquit, „illos aggrediebantur sycophantae, qui essent simpliciores [quales etiam ipsi dicuntur παχεῖς] et simul divites. v. Equ. 260. et 265., quae ibi ad Cleontem spectant: nam is talia docte norat facere."

618. αἰτ. ἂν πρ. crimina in eos conferre soliti. consuetudinem ita faciendi significat ἂν particula, ut passim. — φρονοῖ Br. ex B codice Paris. sed recte, ni fallor, B. nulla opus esse mutatione existimat, sed velut ipsam hanc orationem esse illorum, qui id crimen in aliquem conferrent; Reiskium τὶς intellexisse in φρονεῖ, ellipsi Graecis haud inusitata. — Βρασίδα Suidas h. v., probante Dobr. vulgo Βρασίδου. vidd. Matth. p. 66. et grammatici. S.: τὰ Βρασίδου. ἀντὶ τοῦ τὰ Λακεδαιμονίων· ἅμα δὲ, ὅτι ἐπὶ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν. S. vid. Thuc. 4, 78. seqq. Be. conferri jubet Vesp. 494.

619. ἄν. cf. praegressum versum, 605., 621., 624. etc.

620. ὠχρ. οὐ παρὰ τὸ φοβουμένη (fort. οὐ παρ' ὅσον φοβ.) ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. — S. imo pallere solent esurientes, est igitur metaph. a famelicis, qui quidvis appositum devorant, praesertim metuentes, ne quis ipsis id eripiat, ut solet fieri in bello.

621. ita Fl. Chr. aliique, metro admoniti, codd. ἅττ' ἄν. S.: ἀντὶ τοῦ εἰπεῖν παραβάλοι, ὡς ἐπὶ τροφῆς, διαβάλοι εἶπε διὰ τοὺς διαβάλλοντας. S.

οἱ δὲ τᾶς πληγὰς ὁρῶντες, ἃς ἐτύπτουθ' οἱ ξένοι,
* χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ στόμα·
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους, ἡ δ' Ἑλλὰς ἂν
625 ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης.

ΤΡ. παῦε, παῦ', ὦ δέσποθ' Ἑρμῆ· μὴ λέγε,
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον, οὗπερ ἔστ', εἶναι κάτω.
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνὴρ, ἀλλὰ σός·
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον, κεἰ πανοῦργος ἦν, ὅτ'
ἔζη, t. t.
630 καὶ λάλος, καὶ συκοφάντης, καὶ κύκηθρον, καὶ
τάρακτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ τοὺς σεαυτοῦ λοιδορεῖς. t. t. c.
ἀλλ' ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι. i. tr.

ΕΡ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.

622. τὸ ἑξῆς· οἱ δὲ ξένοι τὰς πλ. ὁρῶντες, ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν παρὰ τῶν δημαγωγῶν, (imo in οἱ intelligendum σύμμαχοι, nec divellenda sunt verba ἃς — ξένοι) χρυσίον προσέφερον τοῖς ταῦτα ποιοῦσι. λέγει δὲ τοῖς ῥήτορσιν. S.

623. versus parum modulatus. ἂν forte excidisse puto, ut saepius factum (vid. Porson. passim in annotatis ad Eurip.), ut ita scribendum sit: χρυσίῳ τῶν ἂν ποιούντων ταῦτ' ἐβ. τὸ στ. τῶν ἂν ποιούντων, derer, die dies etwa thaten. vide Herm. annot. ad Viger. 283., Matth. gr. gr. §. 598, c., nos ad Eurip. Hel. 545. etc. — ἐβύνουν Suid. h. v.; Dind. vulgo ἐβύουν. S.: ἐβύουν, ἐπλήρουν, ἔφρασσον.

626. βυρσ., coriarius, ein Gerber. S.: ἐπεὶ μάλιστα ὁ Κλέων ἐνίστατο τῇ εἰρήνῃ. cf. 270.

626. παῦε, desine, tace. cf. 826. etc. ὦ δέσπ., usitata appellatio deorum ap. Graecos. servus Euripideus Hipp. 80. ἄναξ (θεοὺς γὰρ δεσπότας καλεῖν χρεών) —. contra barbarus Rhes. 285. δεσπότου (Hectoris) πέρσαντος Ἀχαιὸν ἄρη. vidd. interpp. utroque loco, et cf. 686., Plut. 743. similiter dea Pax infra 680. appellatur ὦ δέσποινα.

628. ἡμ. noster, ap. Superos. σός, tuus, Mercurii, cui mortui curae sunt. vide Ran. 1061., Soph. Aj. 778., Aeschyl. Cho. 1. etc.

629. εἰ (sic) παν. ἦν. λεληθότως κωμῳδεῖ αὐτὸν ὡς τοιοῦτον πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν. S.

630. κύκ. supra 270., monente Be.: ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα. cf. Ach. 696. B.: „vocab. κυκήθρα (nescio utrum hic lectum) habent Phot., Hesych., Zonar. 2, 1266. aliique Grammatici."

631. τοὺς σεαυτοῦ, tuos (h. e. Cleonem), quibus parcere debes. de metro (nam vulgo hic versus et praegressi duo in dimetros divisi sunt troch.) vide annot. ad 560.

632. πρὸς τὴν Εἰρήνην φησί. κωφὸν γὰρ εἰσάγει τὸ πρόσωπον. S.

634. ὀργ. γὰρ αὐτοῖς. Ἀττικῶς ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπέρ· ὑπὲρ ὧν ἔπαθεν.

635 ΤΡ. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
ΕΡ. εἴφ', ὅ τι νοεῖς αὐτοῖσι, πρὸς ἔμ', ὦ φιλτάτη.
ἴθ', ὦ γυναικῶν μισοπορπακιστάτη. —
* εἴεν γ', ἀκούω. ταῦτ' ἐπικαλεῖς. μανθάνω.
ἀκούσαθ' ὑμεῖς, ὧν ἕνεκα μομφὴν ἔχει.
640 ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ,
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,

635. ἀλλὰ, *saltem.*

637. μισ. ἀντὶ τοῦ μισοπόλεμε, παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὡς δέ τινες τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης. S.

638. sic libri editi; nec de fide hujus lectionis dubitans Herm. annot. ad Vigerum 176.: „εἴεν," inquit, „Grammatici etiam explicant ἄγε. Aeschyl. Cho. 717. — ad alteram significationem pertinet formula eorum, qui vocati audire se respondent, εἴεν γ' ἀκούω· quod nos diceremus *ja doch: ich höre.* Aeschyl. Cho. 655. Aristoph. Pac. 663. (638.)" at S.: εἶεν (non εἴεν γ'), ἀκούω. ὡς τῆς Εἰρήνης καλεσάσης τὸν Ἑρμῆν, καὶ λαλησάσης αὐτῷ. τὸ δὲ ἐπικαλεῖς ἀντὶ τοῦ ἐγκαλεῖς. quem secutus, nisi fallor, Dind. edidit: εἴεν. ἀκούω. ταῦτ' etc., posteriorem ille syllabam in εἴεν pro longa usurpans propter interpunctionem, quemadmodum in anapaesto Euripides Hipp. 1315. διά τ' εὐνᾶσαν τὸν ἐμὸν βίοτον. Ὦ πατρὸς —, in senario Plautus Capt. prol. 11.: negat hercule illic ultimus. accedito. etc. Aeschylus quoque l. l. in codd.: εἴεν· ἀκούω, sed invito Blomf., nisi forte solennis haec fuerit formula ostiarii respondentis. idem haec Aristophanis laudans omisit γὲ, quasi certum sit, εἴεν, ἀκούω etiam ap. illum legi in MSS., sicut ap. Aeschylum. quodsi ita se res habet, ne nobis quidem ista scriptura expers videtur esse corruptionis; non quo negem, interpunctione id effici nonnunquam, ut brevis syllaba producatur, sed quia ad eam rem majore opus est interpunctione quam quae inest in verbis εἴεν, ἀκούω, quae uno tenore pronuntiantur, pausa vix sentienda. quare haud nolim sic scribi utroque loco: εἴεν, ἐνακούω. Soph. El. 80. θέλεις Μείνωμεν αὐτοῦ, κἀνακούσωμεν γόων; ubi vidd. Herm. et interpp. omissum esse videtur ἐν in ἐνακούω propter antecedentem syllabam similem; quod satis frequens est genus depravationis verborum.

639. μομφὴν ἔχει, *succenset.* cf. Eurip. Phoen. 719., Alc. 961., quae laudavit Be.

640. μετὰ τὰν Πύλῳ. μετὰ τὰ ἐν Πύλῳ καὶ τοὺς αἰχμαλώτους, οὓς ἔλαβεν ὁ Κλέων, ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐκαγγελλόμενοι δώσειν τὰς τριήρεις ἃς εἰλήφεσαν τῶν Ἀθηναίων ἐν τῷ πολέμῳ· (περὶ ἑξήκοντα Thuc. 4, 16., οὔσας ξ Philochorus ap. Schol.) ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε Κλέων, καὶ τοῦ ἐπιστάτου τρίτον ἐρωτήσαντος τὴν Βουλὴν, τί βούλεται, εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ Βουλὴ τὸν πόλεμον συνεστάναι. S. cf. 219., 616.

641. κίστην πλέαν. πλήρη κυτίδια. (κυτίδα scribendum esse vidit Corayus ad Heliod. 2. p. 155.) κυτίδας δὲ ἐκάλουν τὰς κίστας. (adscriptum hoc procul dubio ab eo, qui explicaret minus tritum vocab. κυτίδα, neque hinc colligendum est, ipsum Aristophanem id dedisse; quod facit Corayus l. l.) πλέαν δὲ προσέθηκεν, ὅτι ἐξῆν τοῖς Ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι, οὕτω λαμπρῷ τῷ πολέμῳ κεκρατηκόσι. S.

ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ.
ΤΡ. ἡμάρτομεν ταῦτ', ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
645 ΕΡ. ἴθι νυν. ἄκουσον, οἷον ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὥστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.
ΤΡ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
ΕΡ. ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
650 ὁ Κλεώνυμος;
ΤΡ. ψυχὴν ἄριστος, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' οὗπέρ φησιν εἶναι τοῦ πατρός·
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.
ΕΡ. ἔτι νῦν ἄκουσον, οἷον ἄρτι μ' ἤρετο·
655 ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ Πνυκί.
ΤΡ. Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.

642. ἀπ. τρίς. ὡς τρὶς ἀποχειροτονηθείσης. (ἀποχειροτονεῖσθαι est suffragatione repudiari. B.) καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς Ἀθηναίους, ὡς ἐξουσίαν ἐσχηκόταις ποιῆσαι εἰρήνην. S. cf. 640., Equ. 804. seqq.

644. ἐν τοῖς σκύτεσιν. διὰ τὴν δειλίαν. (?) ἡ παροιμία ἐπὶ σκύτη βλέπει. ἢ σκύτη (ἢ ἐν τοῖς σκύτεσιν) ἀντὶ τοῦ πρὸς τὰ πολεμικά. (ut scuta pellibus inducta intelligantur συνεκδοχικῶς, quae est sententia Florentis Christiani.) ἢ πρὸς τὸν Κλέωνα, ὅτι σκυτεὺς ἦν, ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ Κλέωνος ὁ νοῦς ἦν ἡμῶν. S. Terent. Eun. 4, 7, 56. *animus est in patinis.* Be.: „i. e. Cleo coriarius tunc gubernabat remp., cui oportebat advertere animum et auscultare; is autem rejiciebat pacem" etc. proverbiale est σκύτη βλέπειν non ἐπὶ σκ. βλέπειν: vide Vesp. 663.

647. κἄσπευδεν. καὶ ἐσπούδαζεν. cf. Plut. 1163.

648. εὐν. μὲν ἦν. ὅτι ῥίψασπις καὶ δειλὸς ἦν. S. cf. 436.

650. ψυχὴν ἄριστος. per ironiam dictum, vel qua ratione dicimus *minime malus.* Cleonymum hunc sale comico aspergit tanquam spurium et timidum. — *Fl. Chr.*

653. ἀποβολ. ἅμα μὲν καὶ διὰ τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ παρὰ τὸ ὑποβολιμαῖος εἶναι. S. lusus verborum.

655. Pnyx locus fuit Athenis prope arcem, legitimae concioni habendae destinatus. v. Petit. Leg. Att. p. 378. ed. Wess., Potter. Arch. gr. 1. p. 19. ex interp. Ramb. *B. ad Equ.* 42. — Neque vero illic tantum fiebant conciones, sed etiam in theatro Dionysiaco et in ipso foro, adeo sane, ut ἀγορὰν pro concione acceperint. Quem vero hic vocat lapidem, profecto βῆμα est et suggestus in tribunali; quae erat προεδρία Prytanibus et Epistatis assignata; olim e lapide; qua ratione etiam altare dicitur λίθος. *E Fl. Chr.* cf. Harpocration v. λίθος et lexicographi. Equ. 950., monente Be. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

656. Ὑπέρβολος. ὅτι μετὰ τὸν Κλέωνα Ὑπέρβολος ἐπολιτεύσατο. Χρίμιδος δὲ υἱὸς ἦν Ὑπέρβολος, ἀδελφὸς δὲ Χάρωνος, λυ-

αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;
ΕΡ. ἀποστρέφεται τὸν δῆμον, ἀχθεσθεῖσ', ὅτι
αὐτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
660 ΤΡ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδὲν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
ΕΡ. πῶς οὖν ξυνοίσει ταῦτ' ἐρωτᾷ τῇ πόλει.
ΤΡ. εὐβουλότεροι γενησόμεθα.
ΕΡ. τρόπῳ τίνι;
665 ΤΡ. ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα·
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
ΕΡ. ὦ, ὦ,
οἷά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου!
ΤΡ. τὰ τί;
ΕΡ. πάμπολλα καὶ τἀρχαῖ', ἃ κατέλιπεν τότε·
670 πρῶτον δ', ὅ τι πράττει Σοφοκλέης, ἀνήρετο.

χνοπώλης (Nub. 1064. *Bo.*) φαῦλος τοὺς τρόπους. — προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη δὲ οὗτος, οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος, ἀλλὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. (verba Thucydidis 8, 73.) ἐν Σάμῳ δὲ διατρίβων ὑπὸ τῶν Ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε, καὶ τὸν νεκρὸν αὐτοῦ βαλόντες εἰς σάκκον ἔῤῥιψαν εἰς τὸ πέλαγος. S. cf. 867., Ran. 532., Equ. 1315., Plut. Nic. 15., Alcib. 13. et ibi Bähr. Cic. Bruto, c. 62.: *Is* (C. Servilius Glaucia) *praetor eodem die, quo Saturninus trib. plebis, Mario et Flacco Coss., publice est interfectus; homo simillimus Atheniensis Hyperboli, cujus improbitatem vett. Atticorum comoediae notaverunt.* qui horum meminit, Fl. Chr. Eupolin quoque fabulam in Hyperbolum scripsisse monet Maricam.

657. περιάγεις; ἀποστρέφεται τὸ ὄνομα τοῦ Ὑπερβόλου ἀκούσασα ἡ Εἰρήνη. S.

659. ἐπεγρ. ἀντὶ τοῦ ἐχειροτόνησε, κατέστησεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς. S.

662. περιεζώσατο. οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν. ὁ δὲ νοῦς, δι' ἀνάγκην τέως τοῦτον ἐζώσατο πολυτελέστερον. (imo: ἐζώσατο, οὐ πολυτελέστερον, *hoc cinctu, non magis sumtuoso*, *civitas usa est*, h. e. εὐτελεῖ, *vili.* similiter οὐ neglectum est Pindari l. l. ad 672.)

667. πρὸς λύχνον βουλ. ὅτι λυχνοπώλης ὁ Ὑπέρβολος. τινὲς δέ φασιν αὐτὸν Σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ· Ὑπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοις Γράψω. S.

668. τὰ τί; τὰ dixit, quia praecessit οἷα, sicut 671. τὸ in τὸ τί; refertur ad θαυμαστόν. vid. Herm. ad Viger. annot. 25.

669. h. e. καὶ τὰ ἀρχαῖα πάμπολλα (ὄντα), ἃ κ. τ., *etiam vetera illa plurima, quae tum hic reliquit*, quae opponuntur novis rebus, de quibus modo dictum est.

ΤΡ. εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν.
ΕΡ. τὸ τί;
ΤΡ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
ΕΡ. Σιμωνίδης πῶς;
ΤΡ. ὅτι γέρων ὢν καὶ σαπρὸς
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.
675 ΕΡ. τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν;
ΤΡ. ἀπέθανεν,
ὅθ' οἱ Λάκωνες ἐνέβαλον.

672. S.: ὅτι ἐπὶ μισθῷ ἔγραψε τὰ μέλη. καὶ γὰρ Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ᾄσματα καὶ γράψαι ᾆσμα μισθοῦ. τοῦτο δὲ καὶ Πίνδαρός (Isthm. 2.) φησιν αἰνιττόμενος· οἱ μὲν πάλαι — ὕμνους. ἀ μοῦσα γὰρ (ἀ Μοῖσα γὰρ οὐ) φιλοκερδής. τὸ μέντοι περὶ κιβωτῶν (περὶ) Σιμωνίδου λεγόμενον, ὅτι παρακειμένας εἶχε δύο, τὴν μὲν κενήν, τὴν δὲ μεστήν, καὶ τὴν μὲν κενὴν χαρίτων (Χαρίτων) ἔλεγεν εἶναι, τὴν δὲ γνώριμον (familiarem, amicam), περιφερόμενον εὑρίσκεται· καθ' ἱστορίαν γὰρ οὐδεὶς εἴρηκεν. ἄλλως. ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν ἐοικέναι τῷ Σιμωνίδῃ. λέγεται δὲ, ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. — at incidit alterum illud Atheniensium cum Samiis bellum Olymp. 85, 1., sive ante Chr. nat. 439., cum bellum Pelop. coeperit Olymp. 87, 1., sive ante Chr. nat. 431. vide Aristophanis gramm. argumentum Antigonae Soph., ibique Herm. et interpp. parum igitur verisimile est, Comicum veteris illius criminis, si quod fuit, memoriam refricasse. de Simonidis quidem φιλαργυρίᾳ nota est Aristotelis Rhetor. 3, 2. narratio, quam commemoravit Fl. Chr.

673. γέρων ὢν καὶ σαπρός. ἀρχαῖος καὶ παλαιός. — S. Suidas, monente Br.: σαπρὸς καὶ ἐπὶ τοῦ παλαιοῦ. Σιμωνίδης (Σοφοκλῆς) γέρων ὢν etc. B.: Vertitur tamen σαπρὸς rectius *sordidus*. apud Eupolin σαπρὸν τὸ παλαιὸν dici auctor est Phot. p. 369.

674. ῥιπός. φρυγάνου, ψιάθου, λέγοιτο δ' ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δὲ καὶ ἄλλως· θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. ῥὶψ, δέ ἐστιν ἱμαντώδες φυτόν, παρὰ τὸ ῥέπω ῥὲψ καὶ ῥὶψ, καὶ ῥίπεσι τοῖς τῆς ἰτέας κλάδοις. S. cf. Schneider. lex. gr. v. ῥίψ. Fl. Chr.: — Est ῥὶψ *teges* vel *storia* ex calamis. — itaque nare in tam levi re est quasi τῶν ἀδυνάτων, ut summa sit avaritia ejus, qui extremo se periculo committit propter lucrum. —

675. τί δαί; *quid porro?* vide Plut. 156., Ran. 135., Eur. Iph. Aul. 1309., Herm. ad Viger. annot. 346. — Κρατῖνος. Quintil. 10, 1.: *Plures ejus* (veteris comoediae) *auctores; Aristophanes tamen et Eupolis Cratinusque praecipui.* floruit Cratinus, poëta comicus Ath., Callimedis filius, una cum Cratete et Eupolide, circa Olymp. 81., teste Eusebio. vide praeter Platonem aliosque vett. Beck. Aristoph. vol. 4. pagg. XXVII. seqq.) Cruqu. ad Horat. Epist. 1, 19, 1., Torrent. et interpp. ad ejusdem Sat. 1, 4, 1., Fl. Chr. ad h. l., qui quidem φιλοπότην eum audiisse monet laudatis Eq. 401., 538. cf. seqq. — ἀπέθανεν. natus annos 97., ut fama est. vid. Cruquius l. l.

676. ἐνέβαλον. ἀντὶ τοῦ ἐπῆλθον τῇ πόλει. S. anno 1. belli Pelop., Olymp. 87, 2. sive ante

ΕΡ. τί παθών;
ΤΡ. ὅ τι;
ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
ὁρῶν πίθον καταγνύμενον οἴνου πλέων.
χἄτερα πόσ' ἄττ' οἶει γεγενῆσθ' ἐν τῇ πόλει;
680 ὥστ' οὐδέποτ', ὦ δέσποιν', ἀφεξόμεσθά σου.
ΕΡ. ἴθι νυν, ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
γυναῖκα σαυτῷ τήνδε, κᾆτ' ἐν τοῖς ἀγροῖς
ταύτῃ ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.
ΤΡ. ὦ φιλτάτη, δεῦρ' ἐλθὲ, καὶ δός μοι κύσαι.
685 ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ,
ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;
ΕΡ. οὔκ, εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.

Chr. nat. 431. vid. Thuc. 2, 19. — τί παθών; cf. Plut. 904.

677. ὡ ρ. οἷον ὠχριάσας, ἢ ἐλκυσθεὶς, (?) ἢ λειποψυχήσας, ἢ ἀθυμήσας. ὡς φιλοπότην δὲ πάλιν διαβάλλει τὸν Κρατῖνον, μετὰ ἐκλύσεως ἐσκοτωμένον. ᾧ ἴσως ἀκολουθεῖ καὶ τό ὡρακιάσας. τοιοῦτοι δὲ οἱ' λειποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν ἡ χροιά. Δυκόφρων δὲ τὸ ὡρακιᾶν ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι. (— Grammatici etymon dant, quasi ὥραν αἰκίζειν: nam pallor vultum et formam turpat. *Fl. Chr.*) ὅτι δὲ φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ Πυρίνῃ (de qua ejus fabula laudantur Athen. 11., ed. Schweigh. t. 4. p. 332. sequ., et Fabric. B. gr. 2. p. 433.) λέγει σαφῶς. S.

678. ὁ ρ ῶ ν. sic bene A. vulgo ἰδών. — *Br.* Causam hujus judicii non indicatam hanc esse puto, quod et, *dum videt*, dicitur non sustinuisse, et ἰδὼν πίθον male sonat. B.

679. ita Rav. Invern. Dind. vulgo γεγενῆσθαι τῇ π. S.: ὥσπερ ἐκπλαγείσης τῆς Εἰρήνης ἐπήγαγε τὸ καὶ ἕτερα τοιαῦτα γέγονεν ἐν τῇ πόλει.

680. — Dubitari potest, an, quod ex uno Rav. editum est, ἀφησόμεσθα sit interpretamentum scripturae omnium aliorum codd. et edd. ἀφεξόμεσθα. B. δέσποινα appellatur Pax, ut dea. cf. 626.

681. ἐ π ὶ τ ο ύ τ ο ι ς (ut Ran. 551. etc.), hac conditione, hac lege, scil. ut Pacem semper retineas et colas. ἐκποιεῖσθαι est *sibi gignere*, *procreare*. B. S.: μίαν τῶν συνανελθουσῶν τῇ Εἰρήνῃ πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ, ὅτι συνανειλκύσθησαν αὐτῇ ἥ τε Ὀπώρα καὶ ἡ Θεωρία. ἦσαν δὲ ἑταῖραι.

683. ἐ κ π ο ι ο ῦ σ α υ τ ῷ. οὐκ εἶπε (τ ο ὺ ς) π α ῖ δ α ς, ἀλλὰ (τ ο ὺ ς) β ό τ ρ υ ς διὰ τὴν Ὀπώραν. S.

684. δ ὸ ς μ ο ι κ ύ σ α ι, *permitte mihi oscilari.*

685. διὰ χρόνου pertinet ad κατελάσας per hyperbaton: *si longe post tempore irruero in Operam.* S.: ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται, καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν. S.

686. ὦ δ. Ἑ ρ μ ῆ. cf. 626.

687. β λ η χ. βλήχωνα Ἀττικοὶ διὰ τοῦ β, οὐ διὰ τοῦ γ. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες ἐὰν κυκεῶνα βληχωνίαν πίωσιν, οὐ βλάπτονται. — S. de herba, quae dicitur βλήχων sive γλήχων, etiam βληχὼ, γληχὼ, *mentha pulegium* Linn., germ. *Polei*, *Poleimünze*, vide Bil-

ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ Βουλῇ λαβὼν, ἥσπερ ποτ' ἦν.
690 ΤΡ. ὦ μακαρία Βουλὴ σὺ τῆς Θεωρίας,
ὅσον ῥοφήσεις ζωμὸν ἡμερῶν τριῶν,
ὅσας δὲ κατέδει χόλικας ἑφθὰς καὶ κρέα!
ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά!
ΕΡ. καὶ σύ γε,
ὦνθρωπε, χαίρων ἄπιθι καὶ μέμνησό μου.
695 ΤΡ. ὦ κάνθαρ', οἴκαδ', οἴκαδ' ἀποπετώμεθα.
ΕΡ. οὐκ ἐνθάδ', ὦ 'τᾶν, ἔστι.
ΤΡ. ποῖ γὰρ οἴχεται;
ΕΡ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
ΤΡ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;
ΕΡ. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.
700 ΤΡ. πῶς δῆτ' ἐγὼ καταβήσομαι;
ΕΡ. θάῤῥει, καλῶς·

lerbeck. Florae class. p. 151. et, quos laudat, Dioscor. 3, 36., Plin. H. N. 20, 14. ceterum cf. 1099. „Fortasse et aliquid obscoeni subest: nam βληχῶ etiam dicitur τὸ γυναικεῖον αἰδοῖον Lysistr. 89." *Ex Be.*

688. τοῖς μὲν γεωργοῖς φέρουσα (ἡ Εἰρήνη) τὴν Ὀπώραν ἔδωκε, τῇ δὲ Βουλῇ τὴν Θεωρίαν ἀπέπεμψεν. — ἡ γὰρ Βουλὴ τὰς θεωρίας ἐξέπεμπε. — S. Convenienter Theoriam Senatui applicat: nam Senatus quos extra fines ad sacra, vel ad ludos solemnes, vel ad oracula mittebat oratores, θεωροὺς vocabant, (cf. Phot. lex. p. 71. et Fischer. ad Plat. Crit. 1, 13., Phaed. 1, 19. B.) navim, qua vehebantur, θεωρίδα, sacrificium θεωρίαν etc. *Fl. Chr.*

690. μακαρία τῆς Θεωρίας. vid. Matth. gr. gr. §. 348.

691. ἡμ. τριῶν. ἐπὶ γ' γὰρ ἡμέρας ἐψηφίσατο ἡ Βουλὴ βοῦς θύειν· ἐφ' ὧν καὶ ἕτερα ζῶα. S. Quia in triduum supplicationes decerni solebant. *Br.*

692. κατέδει, comedes. vid. Matth. gr. gr. §. 180. S.: χόλικας. τὰ τῶν βοῶν παχέα ἔντερα· ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. — S.

696. ὦ 'τᾶν. h. e. ὦ ἑτᾶν. vide Herm. ad Soph. Phil. 1373. (1305.), nos ad Oedip. R. 1086.

697. ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου, παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν. S.

699. ἀμβρ. ἀντὶ τοῦ τὴν κόπρον. — S. cf. 11. sequ. 701. π. α. τὴν θεόν, *hic juxta ipsam deam* Pacem, sive ab latere illius. quidam Minervam intelligebant, teste S.: ἄγαλμα γὰρ ἦν, inquit, ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς. sed recte, nisi fallor, Fl. Chr.: „Non puto: nam Pallas potius ἡ κόρα vel παρθένος dicta. et quidni ipsam Pacem intelligamus, per quam et ascensus et descensus ubique liberi? sane non temere, ut opinor, invenias τὴν θεὰν pro Minerva, nisi de ea praecesserit sermo" etc. — ὦ κόραι, Opora et Theoria: S.: κατέλυσε τοῦ οὐρανοῦ τὴν ὑπόκρισιν· κάτεισι γὰρ ἐπὶ τὴν ὀρχήστραν κλίμακιν. ἐχόμενος δὲ τῆς Εἰρήνης καταβαίνει ὁ κρεσβύτης [ἐπὶ τὴν ὀρχήστραν]. ἴσως δὲ καὶ Χορὸς ἀνῆλθεν εἰς τὴν ἀναγωγὴν τῆς Εἰρήνης.

τηδὶ παρ' αὐτὴν τὴν θεόν.

ΤΡ. δεῦρ', ὦ κόραι,
ἕπεσθον ἅμ' ἐμοὶ θᾶττον, ὡς πολλοὶ πάνυ
ποθοῦντες ὑμᾶς ἀναμένουσ' ἐστυκότες.

ΧΟ. * ἀλλ' ἴθι χαίρων· ἡμεῖς δὲ τέως τάδε τὰ σκεύη παραδόντες a. Aristoph.

705 τοῖς ἀκολούθοις δῶμεν σώζειν, ὡς εἰώθασι μάλιστα περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.
ἀλλὰ φύλαττε σὺ ταῦτ' ἀνδρείως· ἡμεῖς δ' αὖ τοῖσι θεαταῖς,
ἣν ἔχομεν ὁδὸν λόγων, εἴπωμεν, ὅσα τε νοῦς ἔχει. t. t. c.

703. ἐστυκ. ἔδει εἰπεῖν ἐστῶτες· τὸ (τῷ) δὲ ἑστυκότες ἐχρήσατο [διὰ τὴν Εἰρήνην,] ὥσπερ διὰ τὸ γαμηθῆναι αὐτῶν τὴν μὲν τῷ Τρυγαίῳ, τὴν δὲ τῇ Βουλῇ. κόρναι γάρ εἰσιν ἐσκευασμέναι S.

704. ὁ Χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μέν ἐστι τοῦ Χοροῦ. — ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία· τοῦ γὰρ ἐπιῤῥήματος καὶ ἀντεπιῤῥήματος ἐστέρηται. — S. cf. Heph. cap. 14. et ibi Gaisf. p. 131. sequ., item Herm. Elem. doctr. metr. pagg. 720. seqq. Pollux 4, 3.: τῶν δὲ χορικῶν ᾀσμάτων τῶν κωμικῶν ἕν τι καὶ ἡ παράβασις, ὅταν, ἃ ὁ ποιητὴς πρὸς τὸ θέατρον βούληται (βούλεται) λέγειν, ὁ Χορὸς παρελθὼν λέγει (λέγῃ: vid. tamen elegantissimus Jacobs. Anthol. Palat. vol. 1. praef. p. XLVIII. sequ.) ταῦτα. ἐπιεικῶς δὲ αὐτὸ ποιοῦσιν οἱ κωμῳδοποιηταί· τραγικὸν δὲ οὐκ ἔστιν, ἀλλ' Εὐριπίδης αὐτὸ πεποίηκεν ἐν πολλοῖς δράμασιν. — καὶ Σοφοκλῆς δὲ αὐτὸ ἐκ τῆς πρὸς ἐκεῖνον ἀμίλλης ποιεῖ σκανιάκις, ὥσπερ ἐν Ἱππόνῳ. τῆς μέντοι παραβάσεως τῆς κωμικῆς ἑπτὰ ἂν εἴη μέρη, κομμάτιον, παράβασις, μακρόν, στροφή, ἐπιῤῥήμα, ἀντίστροφος, ἀντεπιῤῥήμα. ὧν τὸ μὲν κομμάτιον καταβολή τίς ἐστι βραχέος μέλους, ἡ δὲ παράβασις ὡς τὸ πολὺ μὲν ἐν ἀναπαίστῳ μέτρῳ· εἰ δ' οὖν καὶ ἐν ἄλλῳ, ἀνάπαιστα τὸ ἐπίκλην (?) ἔχει. τὸ δὲ ὀνομαζόμενον μακρὸν ἐπὶ τῇ παραβάσει βραχὺ μελύδριόν ἐστιν, ἀπνευστὶ ᾀδόμενον. τῇ δὲ στροφῇ ἐν κώλοις προᾀσθείσῃ τὸ ἐπιῤῥήμα ἐν τετραμέτροις ἐπάγεται· καὶ τῆς ἀντιστρόφου τῇ στροφῇ ἀντᾀσθείσης τὸ ἀντεπιῤῥήμα, τελευταῖον ὂν τῆς παραβάσεως, ἐστὶ τετράμετρα οὐκ ἐλάττω τὸν ἀριθμὸν τοῦ ἐπιῤῥήματος. cf. Ran. 340. — παραδόντες vix rectum est, cum sequatur δῶμεν. fortasse Comicus scripserat παρελόντες, *auferentes*, quas voces proclive fuit permutari inter se propter similitudinem. S.: τὰ σκεύη. τὰς ἅμας, τὰ σχοινία. γυμνὸν γὰρ ποιοῦσιν οἱ Κωμικοὶ τὸν Χορόν, ἵνα ὀρχῆται.

706. κυπτ. κρυφιμαίως διατρίβειν καὶ κρύπτεσθαι. S.

707. ἀλλὰ — ἀνδρείως. alloqui Chorus videtur unum e famulis, qui muti adstabant (705.): nam Trygaeus jam abierat. B.

708. ita B Paris., nisi quod ibi legitur ἔχωμεν, quae scriptura merito placuit Meinekio Cur. crit. in Com. fr. p. 64. et Dindorfio. est autem hic procul dubio poëtae alicujus scenici versus, quem ridiculi causa usurpavit Aristoph.,

Χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς a. Arist. παράβ.
710 αὐτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς ἀναπαίστοις·
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται,
ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀνθρώπων κατέπαυσεν
715 ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ, καὶ τοῖς φθειρσὶν πολεμοῦντας·

ut solet, miratus fortasse paulo insolentius dictum illud ὅσα τε νοῦς ἔχει, *et quae mens habet*, quae mente sive animo continemus, *was wir dabei im Sinn haben*. Metrici est, quod ex membranis Paris. in ordinem recepit Br., hoc: ἦν ἔχομεν ὁδὸν, λόγον εἴπ., χῷσα τε νοῦς αὐτὸς ἔχει γε, nec multo melius olim vulgatae edd.: ὁδὸν λόγων εἴπ., χ' ὥσα τε νοῦς αὐτὸς ἔχει. vid. Porson. praef. Hecubae LI. sequ. — ὁ δὸν λόγων, viam ac rationem nostrorum sermonum, h. e. comoediarum, quas agimus. earum indolem ingeniumque Aristophanis enarraturus haec dicit Chorus.

709. νῦν παραβάσει κέχρηται ὁ Χορὸς, μηδὲν περὶ τοῦ προκειμένου λέγων ἢ τὸν ποιητὴν ἐπαινῶν. παράβασιν δὲ τοῦτο ἐκάλουν ἀπὸ τοῦ παραβαίνειν τὸν Χορὸν τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ Χοροῦ. ἐστρέφετο δὲ ὁ Χορὸς, καὶ ἐγίνοντο στίχοι δ'· εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. — ἦσαν δὲ ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινὲς, οἳ τῆς εὐκοσμίας ἐμέλοντο τῶν θεατῶν. ἢ ῥαβδούχους εἶπε τοὺς κριτὰς τοῦ ἀγῶνος, οὓς ὁ ποιητὴς (Odyss. 8, 258.) αἰσυμνήτας εἶπε. S. nam etiam ludorum praesides ῥαβδοῦχοι et ῥαβδονόμοι a scipione, quem gestabant, dicti sunt. v. qui in Potteri Arch. gr. I. p. 959. laudantur. hic tamen ob v. τύπτειν videntur lictores intelligi. B.

710. παρ. ἐν τοῖς ἀναπ. πᾶσαν παράβασιν ἀνάπαιστον καλεῖ. S.

711. — εἰ δὲ πρέπον ἐστὶν, ὦ Μοῦσα, [ἑαυτὸν] ἐπαινέσαι τινὰ, φησὶν ὁ διδάσκαλος ἡμῶν, τουτέστιν ὁ Ἀριστοφάνης, ἄξιος εἶναι πολλῆς τιμῆς, ὅστις, Ἀριστοφάνης, ἄριστος γεγένηται. S. θύγατερ Διός. Hom. Odyss. 1, 10. τῶν ἁμόθεν γε, θεὰ, θύγατερ Διὸς, εἰπὲ καὶ ἡμῖν.

712. κωμ. sic etiam τραγῳδοδιδάσκαλοι dicuntur. vid. Aristot. Poet. 9. *Ex Fl. Chr.*

714. peccata superiorum Comicorum pertractantur. cf. initium Ranarum. — μόνος. vide 572.

715. ἐς τὰ ῥάκια. ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων Κωμικῶν, ῥακοφοροῦντας. αἰνίττεται δὲ καὶ εἰς Εὔπολιν. καὶ τοῖς φθ. ἀντὶ τοῦ εὐτελεῖς καὶ ἀδόξους ἄνδρας. S.

τούς θ' Ἡρακλέας τοὺς μάττοντας, καὶ τοὺς πεινῶντας ἐκείνους,
τούς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους ἐπίτηδες,
ἐξηλασ' ἀτιμώσας πρῶτος· καὶ τοὺς δοίλους κατέλυσεν,
οὓς ἐξῆγον κλάοντας ἀεὶ, καὶ τούτους οὕνεκα τουδὶ,
720 ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ' ἀνέροιτο·
„Ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ, κἀδενδροτόμησε τὰ νῶτα;"
τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον καὶ βωμολοχεύματ' ἀγεννῆ,

716. μάττειν τὸ πολλὰ ἐσθίειν, ἀπὸ τῆς ματτομένης ζύμης. αἰνίττεται δὲ ταῦτα εἰς Εὐριπίδην, ὃς ἐποίησε τὸν Ἡρακλέα πίνοντα (in Alcestide), καὶ Διόνυσον δειλόν, καὶ Δία μοιχόν, καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς Κρατῖνον αἰνίττεσθαι, ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε δὲ τότε ταῦτα τὰ λήμματα (argumenta fabularum). καὶ αὐτὸς δὲ Ἀριστοφ. ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι (1696.), καὶ ἐν Αἰολοσίκωνι, (etiam in Ranis,) καὶ ἐν τοῖς Σφηξὶ (58. seqq.) περὶ τούτων φησὶ, τοῦ τε Ἡρακλέους, καὶ τοῦ δούλου. — S.

717. τοὺς φεύγοντας, *fugitivos*. „τυπτ. nempe ab Omphale: παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ut est ap. Lucian. in dial. Jov. Aescul. et Herculis (deor. dial. 11, 1.)." *Be.* nempe si haec omnia ad Herculem referuntur; sed verba πειν. ἐκείνους etc. videntur spectare alios ejusmodi homines, qui a Tragicis (Comicisque) inducebantur, ut Telephus (Philoctetes et Oedipus Col. ap. Sophoclem, aliique). B. ἐπίτηδες, *de industria*. cf. 877. etc.

718. Dind. παρέλυσεν.

720. εἶτ' ἀν. ita Bentl. et Dawes. Misc. crit. p. 279., merito probantibus viris doctis. libri mendose ἐπανέροιτο. de particula εἶτα inter particip. et verbum interposita laudantur Dawes. l. l. et Koen. ad Corinth. de dial. Att. p. 145. sequ. ed. Schaef. cf. Plut. 794., Soph. Oed. Col. 855.

721. ὑστρ. ἡ ἐξ ὑείων τριχῶν μάστιξ. ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὑός, (vide Schneideri lex. gr. vv. ὕστριξ, ὑστριχὶς,) ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων. (hoc quidem confictum esse, nemo hodie ignorat. vide Wilmsenii *Handb. der Naturgesch.* vol. 1. p. 226.) εἰσέβαλεν. ἀπὸ μεταφορᾶς λέγει τῶν τὰς πόλεις πορθούντων εἰσέβαλεν. καὶ ἔμεινεν ἐν τῇ τροπῇ. — S.

723. recte addidit ἀγεννῆ, quia auctore Aristot. in Rhet. (3, 18, 7.) τῶν εἰδῶν τοῦ γέλωτος ἄλλο μὲν ἁρμόττει τῷ ἐλευθέρῳ, ἄλλο δὲ τῷ βωμολόχῳ. (cf. Cic. de Off. 1, 29.) sunt autem proprie βωμολόχοι, qui in sacrificiis aras frequentant (qualis postea Hierocles), et cum adulatione aliquid petunt et mendicant. Hesych. ἱεροσύλους vocat, quia insidiantur

ἐποίησε τέχνην μεγάλην ἡμῖν κἀπύργωσ' οἰκοδομήσας
725 ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν οὐκ ἀγοραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυναῖκας,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖ,
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς κἀπειλὰς βορβοροθύμους.
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρόδοντι,
730 οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο

aris. Moschopulus (περὶ σχεδῶν p. 84. ed. Paris.) definit, qui ficto lusu utuntur ad fraudem. tales etiam dicuntur tibicines et divini aeruscatores, denique per tralationem εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν καὶ σκώπτειν. recte autem hic φόρτον addidit, et puto dictum ut illud (Virg. Georg. 2, 192.) *pateris libamus et auro*, ut intelligas βωμολοχίαν φορτικήν. est enim βωμολοχία γένος κολακείας φορτικον καὶ γελωτοποιὸν etc. *Fl. Chr.* imo κακὰ καὶ φόρτον significat κακὸν φόρτον per figuram ἓν διὰ δυοῖν. ceterum cf. Ran. 344., 1024. S.: βωμολ. τουτέστι βωμολόχα σκώμματα, ὅ ἐστι σκώπτοντας εὐτελεῖς τινας καὶ ἀσθενεῖς ἄνδρας.

724. τοῦτο καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατάλλοις ὅστις (ὅστις γ') αὐτοῖς παρέδωκε (παρέδωκα) τέχνην μεγάλην ἐξοικοδομήσας. κἀπύργωσεν. ὕψωσεν, ηὔξησεν, ἐμεγάλυνεν, ἠσφαλίσατο, καὶ ἐπὶ τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν. καὶ ἐν ἄλλοις (Ran. 943.) ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά. S.

725. οὐκ ἀγ. οὐ κατημαξευμένοις. S. *nati in triviis et paene forenses* Horat. dixit. ἀγοραῖοι hic sunt viles et pauperes, dicti ab antiquis Latinis *canalicolae*, quod consisterent ad canales fori. *Fl. Chr.*

726. ἰδιώτας, privatos.

727. 729—734. versus ex Vespis 1066. seqq. repetiti, quia placuerant, nec minus ad hanc orationem conveniebant.

728. βυρσῶν ὀδμάς. ὡσανεὶ ἔλεγε ποταμοὺς ἢ χαράδρας. διὰ δὲ τὸν Κλέωνα (coriarium) ταῦτα· εἰκὸς γὰρ ἦν αὐτὸν ἀπειλεῖν τῷ Ἀριστοφάνει διὰ τὰς ὕβρεις. — τοῦ Ἡρακλέους δὲ μνημονεύσας ἑξῆς τὸ βυρσῶν ὀσμὴν ἐπήγαγεν, ἐπεὶ δοκεῖ ὁ Ἡρακλῆς τὴν Αὐγέου κόπρον ἐκκεκαθαρκέναι. S.

729. τῷ καρχ. quasi Hercules Berbero. *Fl. Chr.*

730. — Κύννα καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησι. ἀναίδειαν δὲ αὐτοῦ καὶ τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος· (Il. 1, 104.) ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐοικτην. τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι (775.), λέγων καὶ Κύνναν καὶ Σαλαβακχώ. S.

731. κολάκων. ὡσεὶ ἔλεγεν ὄφεων. εἰκὸς γὰρ πλῆθος κολάκων

περὶ τὴν κεφαλὴν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμὴν, λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων
735 ἀντεῖχον ἀεὶ καὶ τῶν ἄλλων νήσων. ὧν εἵνεκα νυνὶ ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς καὶ μνήμονας εἶναι·

ἔχειν τὸν Κλέωνα. — δέον δὲ εἰπεῖν ἐλιχμῶντο, ἐλιχνῶντο εἶπε διὰ τὸ λίχνον τῶν κολάκων. S. ἐλιχνῶντο vulgo quidem libri Aristoph., item Hesych. v. ἐλίχνων et, monente Dobr., Suidas v. Κύννα; sed ἐλιχμῶντο, quod legitur in Vesparum l. l. ad 727., etiam hic Bentlejo, Brunckio aliisque placuit; alterum illud affectatum est. — οἰμ., quibus plorandum erit, pessimorum.

732. χαρ. ἀντὶ τοῦ χειμάῤῥου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος. οὐκ εἶπε δὲ πηλὸν, ἀλλ' ὄλεθρον. S. hoc ineptum. χαράδρα ὄλεθρον τετοκυία est *torrens, qui interitum peperit*, h. e. qui homines et pecora una cum tectis arboribusque abripuit.

733. θαλασσίον ζῶον φώκη. Ὅμηρος (Od. 4, 442.) φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή. S. λαμίας, *canis carchariae*, cujus animalis voracis cum testes dicit, nihil aliud quam libidinem significare videtur Cleonis insatiabilem dignamque cane carcharia. neque enim haec ad vivum resecanda sunt aut reprehendenda propterea quod testes neque pisces habent, neque ullum aliud genus, quod caret pedibus, auctore Aristot. H. A. 5, 5. certe minus etiam ὄρχεις conveniunt Lamiae, monstro feminae, de quo Diodor. Sic. 20., 41. et ibi Wesseling., Philostrat. vit. Apoll. 4, 25., Suidas h. v. aliique. nihilominus hanc scripturam alteri praetulerunt recentiores; quorum Fl. Chr.: „Cum Lamia femina sit," inquit, „ei tamen ὄρχεις tribuit, et, ut Cleonis spurcitiem arguat, ἀπλύτους, i. e., ut ait Plautus (Men. 1, 2, 57.) *illutibili odore*. ceterum fuit Lamia olim etiam Atticum scortum, cujus dictum Aelianus (V. H. 13, 8.) memorat." eam quidem intelligi non posse, ipse haud dubie sentiebat Florens, cum amica fuerit Demetrii Poliorcetis, qui floruit plus 100 annos post actam hanc fabulam. S. inter alia: ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα· τὴν γὰρ Λάμιάν φησιν (λαμίαν φασὶν) ἄγριον εἶναι ζῶον καὶ δύσοσμον καὶ ἀνήμερον. (quis dubitet ita describi squalum carchariam Linn., *den Menschenfresser?*) οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰκάσαι μόνοις, προσέθηκεν ἄπλυτον (ἀπλύτους), ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ Κλέωνα δυσοσμίαν. — πρωκτὸν καμήλου intelligo εὐρὺν πρωκτὸν, quo Cleonem deridet, tanquam cinaedum. Fl. Chr.: „salacem camelum et θερμόπρωκτον existimant." camelos toto die coïtum exercere dicit Aristot. H. A. 5, 2.

735. τῶν ἄλλων νήσων vel est *aliarum terrarum*, *quae terrae sunt insulae*, quemadmodum Soph. dixit Phil. 38. καὶ ταῦτά γ' ἄλλα θάλπεται ῥάκη, h. e. *et hic alia siccantur, panni;* vel, quod malim, dictum hoc est πλεοναστικῶς, ut χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας Eurip. Med. 281., ubi vidd. interpp. — εἵνεκα. frustra Br. οὕνεκα. vide Ran. 189.

καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν οὐχὶ παλαί-
στρας περινοστῶν
παῖδας ἐπείρων, ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς
ἐχώρουν,
παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας, πάντα παρασχὼν
τὰ δέοντα.
740 πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ a. d.
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας·
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν
ξυσπουδάζειν περὶ τῆς νίκης·
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
745 κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις·
„Φέρε τῷ φαλακρῷ δὸς, τῷ φαλακρῷ,
τῶν τρωγαλίων, καὶ μὴ ἀφαίρει
γενναιοτάτου τῶν ποιητῶν
ἀνδρὸς τὸ μέτωπον ἔχοντος." a. par.
750 ΗΜ. Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ
as., da. tr. et da. d. h. στ.
τοῦ φίλου χόρευσον, ith.

737. — εἰώθασι δὲ καὶ παιδεραστεῖν ἁβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς Εὔπολιν καὶ τοὺς περὶ αὐτὸν, ὡς παίδων ἐρῶντας καὶ παλαίστρας περιερχομένους. S.

738. ἀρ. τὴν σκευὴν ε. ἐ., *sublata supellectile* scenica *statim excedebam ex theatro.*

739. παῦρ' ἀν. ὡς τῶν νικώντων ταῦτα ποιούντων, καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας, ἢ οὐδὲν λυπήσας. — S. πάντα π. τὰ δ., *omnia praestans, quae praestanda essent.*

740. πρὸς ταῦτα, *proinde.*

742. καὶ τοῖς φαλ. τοῦτο εἰς ἑαυτόν· φαλακρὸς γὰρ ἦν ὁ Ἀριστοφ. (ut, monente H. Vossio, Shakspearius.) — S. Plut., quem laudavit Fl. Chr., Sympos. 2, 1.: διὸ καὶ τῶν Κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ σκώπτειν ἑαυτοὺς, ὡς Ἀριστοφ. εἰς τὴν φαλακρότητα etc.

746. male edd.: φέρε τῷ φ., δὸς τῷ φ. jungenda sunt verba φέρε δὸς (vid. Zeun. ad Viger. 5, 13, 6.), τῷ φαλακρῷ repetitum est ἐμφατικῶς.

747. τῶν τρωγ. cf. Plut. 793. et, quem hic laudant, plura bellariorum nomina referentem Ath. 14., t. 5. pp. 323. seqq. ed. Schweigh. sequentium verborum hic ordo est et sensus: καὶ μὴ ἀφαίρει (τι) ἀνδρὸς ἔχοντος τὸ μέτωπον γενν. τῶν ποιητῶν, *et ne detrahe quidquam viro, qui frontem habet poëtarum generosissimi*, h. e. Aristophanis; *ne defrauda calvum, qualis est Aristophanes.* ridicule ob calvitiem suam, si quidem vicerit, omnibus calvis bene fore dicit in conviviis. hyperbato non intellecto lapsi sunt interpp.

750. Musam bellis valedicere jubet illam, quae nuptias epulasque deorum et virorum illustrium canere soleat, potiusque secum, amico suo, Pacem receptam celebrare cantu et saltatione atque agendis proborum poëtarum fabulis.

κλείουσα θεῶν τε γάμους, ἀνδρῶν τε δαῖτας as., a. d. br. et i. h.
καὶ θαλίας μακάρων! da. d. h.
5 σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει. i. d.
755 ἢν δέ σε Καρκίνος ἐλθὼν da. tr.
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι, as., da. d. h. et i. h.
μήθ' ὑπάκουε, μήτ' ἔλθῃς συνέριθος αὐτοῖς, ἀλλὰ νόμιζε πάντας as., 3 an. chor.
ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστάς, hex. her. cat.
10 ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας· hex. her.

752. θεῶν τε γάμους. Martis et Veneris nuptias ridiculas commemorat S. (Hom. Odyss. 8, 266.), H. Vossius Promethei et Hesiones, sed tribus verbis descriptas, ap. Aeschylum Prom. 560., obliti illi carminis pulcherrimi de connubio Pelei et Thetidos ap. Euripidem Iphig. Aul. 939. seqq.

754. ἐξ ἀρχῆς, *omnino*, vel *inprimis*.

755. Καρκίνος τραγῳδίας ποιητής, ὃς εἶχε ταπεινούς τινας παῖδας. — (ἄλλως.) παῖδες δὲ Καρκίνου τρεῖς, Ξενοκλῆς, Ξενότιμος, Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί, οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. S. rideri monent Carcinum etiam Nub. 1261. et Vesp. 1512. ejus fabulam Thyestem commemorat Aristot. Poët. 13., ut annotavit Fl. Chr. cf. Fabric. Bibl. gr. 2. p. 290. sequ. ed. Harless.

757. ita Bentl., Dind. libri corrupto metro ὑπακούσῃς. versus τρίκωλος, cujusmodi plures etiam Sophocli atque Euripidi restituimus. vide Eurip. Suppl. 763., Soph. Trach. 123. et cf. infra 811., 813., 1256., 1264. — συνέριθος, *socia*, vel *adjutrix*. vid. praeter alios Jacobs. Anthol. Palat. 3. p. 471.

758. ὄρτυγας. — φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις. (de hac coturnicum natura vid., quem B. laudavit, Camus ad Aristot. H. A. 3. p. 150.) οἰκογενεῖς δὲ ἀντὶ τοῦ ἡμέρους ἐν οἴκῳ τεθραμμένους. (*Stubensitzer*, *Bärenhäuter*.) προείρηται δὲ περὶ τῶν Καρκίνου υἱῶν, ὅτι μικροί. — γυλ. — μακροτραχήλους. (Sic etiam Suid. et Zonar. 1, 457.) γύλιος (γυλιὸς) γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες, τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν. — ¡S. cf. 516.

759. ναννοφυεῖς. νάννοι γὰρ (vel νάνοι, *nani*,) λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων νάννοι (imo γίννοι) λέγονται. σφυρ. ἀποκν. ταπεινούς, καὶ μικρούς, οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. Εὔπολις Αἰξί· σφυράδων πολλῶν ἀναμέστη. (Atticum esse dicitur σφυρᾶς, vulgare σπυράς. vide Br. et ab eo laudatos Hesych. v. σφυράδες, Pierson. ad Moer. in σχινδαλμός.) μηχαν. ἀπὸ μέρους τούτου (τοῦτο)· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Σοφισταῖς· Ξενοκλῆς ὁ δωδεκαμήχανος Ὁ Καρκίνου παῖς τοῦ θαλαττίου. (cf. Schol. ad 815.) μηχανοδίφας δὲ εἶπεν αὐτούς, ἐπειδὴ πολλάκις, ὡς τραγῳδοί, μηχανὰς προσέφε-

760 καὶ γὰρ ἔφασκ' ὁ πατὴρ ὃ παρ' ἐλπίδας da. t.
εἶχε τὸ δρᾶμα γαλῆν τῆς ἑσπέρας ἀπάγξαι. as., da. d. h. et an.

ΗΜ. Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ἀντ.
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν
765 ἑξομένη κελαδῇ,
5 χορὸν δὲ μὴ 'χῃ Μόρσιμος,
μηδὲ Μελάνθιος· οὐ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν τὸν χορὸν εἶχον ἀδελφός τε καὶ αὐτὸς, ἄμφω
770 Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι,

ρον, ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους, ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ. S.

760. *nam etiam pater* eorùm *quod praeter spem peperit drama, jelem vesperi suffocasse dixit.* S.: — τὸ δρᾶμα αὐτοῦ, ὅπερ εἶχε παρὰ προσδοκίαν, τουτέστιν ὃ μετὰ μόχθου συνεγράψατο. — δρᾶμα δὲ ἐποίησε τοὺς Μύας. διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι. — δρᾶμα δὲ ποιήσας ὁ Καρκίνος [ἢ ὁ Ξενοκλῆς] παρῆλθε (h. e. effecit ut ageretur) μέγα καυχώμενος ἐπ' αὐτῷ, καὶ παρελθὼν ἡττήθη. — S. ergo ne ipse quidem Carcinus fuit aliquid: quo minus filiorum ejus rationem habendam esse ait Arist.

762. — ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας· τοιάδε χρὴ Χαρίτων δαμώματα Καλλικόμων ὑμνεῖν, Φρύγιον μέλος Ἐξευρόνθ' (vulgo ἐξευρόντα, cum appareat versum hunc esse pentametrum eleg., reliquos autem duo dact. tetrametros,) ἀβρῶς ἤρος ἐπερχομένου. — δαμώματα δὲ τὰ δημοσίᾳ ᾀδόμενα. S. — Br. — „Hesych. δαμώματα, κοινώματα, δημοσιώματα. carmina quae publice cantantur.“ B. evolvi jubet Zonar. 1. p. 470. et Stesichori fragm. a Suchfortio edita pag. XXXVIII.

764. καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως· ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. S.

766. Μόρσιμος μηδὲ Μελάνθιος. τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ Τραγικοῦ υἱὸς, πονηρὸς καὶ ἄμετρος. (cf. Ran. 151.) ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. (cf. 952.) καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις ὡς κίναιδον αὐτὸν διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς λευκὰς ἔχοντα καὶ λεπρὰς (λέπραν) Ἀριστοφ. ἐν Ὄρνισιν· (151.) ὡς οὐκ ἰδὼν Βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου. S.

769. ἀδελφός. ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου Τραγικοῦ ὄντος ἀσήμου. — S.

770. Gorgones cum magnis malis dentibusque pingebantur et fingebantur. (vide Apollod. 2, 4. et a B. laudatum Millinum *Gallerie mythol.* t. 2. p. 144.) unde voraces et manduci Gorgones vocati et gumiae. tales in exodiis Atellanarum personae pallentes et hiantes erant, quae risum movebant et pueris terrorem incutiebant, ut ait Juvenalis (Sat. 3, 175.) etc.

10. γραοσόβαι, μιαροὶ, τραγομάσχαλοι, ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ,
Μοῦσα θεὰ, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

Fl. Chr. S.: βατιδ. βάτις εἶδος ἰχθύος. (est *raja*, *eine Rochenart.* v. Camus ad Aristot. H. An. 2. p. 715. seqq., ubi Aristotelis loca de hoc piscis genere laudantur. B. cf. Plut. 1007. Fl. Chr.: Piscibus libenter vescebantur Athenienses. inter eos *batis* excellit, et sane Sannyrion in Risu fabula inter mensarum delicias hunc piscem appellat hoc semiversu: ὦ βατίδες, ὦ γλαυκῶν κάρα. et Archestratus, culinarius poëta, quomodo sit apparanda batis docet l. 8. Athen. [p. 44. sequ. t. 3. Schweigh.] etc.) ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων. —

771. γραοσόβαι. ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες γραΐδας, ὡς μὴ ἀγοράζειν. ἢ γραῖ συγκοιμώμενοι. (hoc recte: nam σοβεῖν est κινεῖν.) σοβάδας γὰρ τὰς πόρνας λέγουσιν. Εὔπολις· παρὰ τῇδε σὺ τῇ σοβάδι κατήγου. (anap. dim.) ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει, καὶ περὶ γραῶν ἔρωτα ἐπτοημένους, ἀντὶ τοῦ γραῦς ὀχεύοντας. τραγ. δύσοσμοι. οἱ γὰρ ἄῤῥενες τῶν αἰγῶν τοιοῦτοι. (magis ridiculum epitheton τραγομάσχαλοι in Τραγικοῖς.) ἰχθ. οἱ γὰρ Ἀθηναῖοι τοὺς ἰχθύας εἶχον ὡς μέγα ἔδεσμα. S.

772. καταχρ. μέγα καταπτύσασα αὐτῶν, ὦ Μοῦσα, τῶν προειρημένων ποιητῶν καὶ τῶν παίδων τοῦ Καρκίνου. S. vertitur καταχρ. μ. καὶ πλ. *quos despue screatu magno et largo.* B.

ΤΡΥΓΑΙΟΣ. ΟΙΚΕΤΗΣ. ΧΟΡΟΣ. ΙΕΡΟΚΛΗΣ.

ΤΡ. Ὡς χαλεπὸν ἦν ἐλθεῖν ἄρ' εὐθὺ τῶν θεῶν! i. tr.
775 ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη.
μικροὶ δ' ὁρᾷν ἄνωθεν ἦσθ'. ἔμοιγέ τοι
ἀπὸ τοῦρανοῦ 'φαίνεσθε κακοήθεις πάνυ·
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.
ΟΙ. * ὦ δέσποθ', ἥκεις;
ΤΡ. ὡς ἐγὼ 'πυθόμην τινός.
780 ΟΙ. τί δ' ἔπαθες;
ΤΡ. ἤλγουν τὼ σκέλη, μακρὰν ὁδὸν
διεληλυθώς.
ΟΙ. Ἴθι νυν, κάτειπέ μοι.
ΤΡ. τὸ τί;
ΟΙ. ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον πλὴν σαυτόν;
ΤΡ. οὔκ, εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.

774. ὡς χαλ. κορωνίς. προϊᾶσι γὰρ οἱ ὑποκριταί. — ὁ Τρυγαῖος δέ ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ, καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον, ὃν ὑπέστη, διηγεῖται. S. εὐθὺ τῶν θεῶν est *recta ad deos*. B. cf. 77. etc.

775. κομιδῇ, *vehementer*. cf. Plut. 1082. etc.

777. κακ. πάνυ. ἀνθυπάλλαξεν ἀντὶ τοῦ εἰπεῖν μικρότεροι, παρ' ὑπόνοιαν διαβάλλων Ἀθηναίους ὡς κακουργεῖν ἑτοίμους. — S. jocus frigidus. quare vereor, ne haec sic una oratio: ὦ δέσπ., ἥκεις, ὡς ἐγὼ 'π. τινός; Τί δ' ἔπαθες;

779. ἐπυθόμην τινός. ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί. S.

784. διθυρ. διαβάλλει αὐτοὺς ὡς μετεώρους, ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι παλλά. συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιούς, ὡς ἐκ τοῦ ἀέρος καὶ τῶν νεφελῶν σπῶντας τὰς λέξεις, διὰ τὸ συνθέτους εἶναι παρ' αὐτοῖς. S. In Av. 1383. introducit dithyramborum

785 ΟΙ. τί δ' ἔδρων;
ΤΡ. ξυνελέγοντ' ἀναβολὰς ποτῶμεναι,
τὰς ἐνδιαεριανερινηχέτους τινάς.
ΟΙ. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι, κατὰ τὸν ἀέρα
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
ΤΡ. μάλιστα.
ΟΙ. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;
790 ΤΡ. Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
ἐνθάδε τὸν Ἀοῖόν ποθ', ὥστε γ' εὐθέως
Ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.

poëtam Cinesiam (de quo ad Ran. 153.) alas petentem, ut sublime volans possit captare prooemia: ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος Ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν Ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς. ad quem alter: κρέμαται μὲν οὖν ἐντεῦθεν ὑμῖν ἡ τέχνη. Be.

785. ἀναβ. τὰς ἀρχὰς τῶν ἀσμάτων. Ὅμηρος (Odyss. 1, 155.) ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. S.

786. ἐνδιαερ. vox composita ex verbis ἔνδιον, ἀέριον, ἀνὴρ et νήχειν, ut significentur ἄνδρες νήχοντες ἐν ἐνδίῳ ἀερίῳ, viri natantes per aëria templa seu domicilia. Suid. v. διθυραμβοδιδάσκαλοι habet ἐνδιαέριαι ἐρινηχέτους et alibi ἐνδιαεριαβερινηχέτους, ex quibus scripturis Bentl. exsculpebat ἐνδιαπερίνηχ., numeris imperfectis, vel ἐνδιαστερινηχ. Dind. suo periculo edidit ἐνδιαεριαιθερινηχ.

787. sequ. nescio, quis hoc diserte dixerit; sed intelligenda mihi videntur illa, quae passim leguntur apud vett. de animorum origine et natura. Euripides Chrysippo (fragm. 7. ed. Musgrav.): χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας Φύντ' εἰς γαῖαν· Τὰ δ' ἀπ' αἰθερίου βλάστοντα γονῆς Εἰς οὐράνιον πόλον ἦλθε πάλιν. Cic. de N. D. 8, 14.: *omnia Stoici solent ad igneam vim referre, Heraclitum, ut opinor, sequentes.* idem in Somnio Scip., 3.: *hisque* (hominibus) *animus datus est ex illis sempiternis ignibus, quae sidera et stellas vocatis.* quae Macrobius exponens, Comment. in Somn. Scip. 1, 14.: *mentem,* inquit, *praestat intelligi, quae nobis proprie cum coelo sideribusque communis est.* H. Vossius, incertum quo auctore: *Nach der Vorstellung einiger Weltweisen war des Menschen Seele ein Theil des feurigen, alldurchdringenden Weltgeistes, und kehrte nach dem Tode des Leibes als Gestirn zum Aether zurück. Je feuriger die Seele gewesen war, je feuriger stralte sie am Himmel fort; aber ungesehn verdumpfte die werthlose Seele als mattes Licht in der Wolkenregion.* — οὐδ'. *ne id quidem,* quod verissimum duxi.

789. ἐστὶν, *est,* factus est. quaerit, quis recens mutatus ibi fuerit in stellam.

790. Ἴων ὁ Χῖος. διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδὴν, ἧς ἡ ἀρχή· ἀοῖον ἀεροφοίταν ἀστέρα μείνομεν ἀέλιον λευκῇ πτέρυγι (B. ἀ. ἀμεροφοίταν ἀ. μείναμεν ἀ. λευκοπτέρυγα). πρόδρομον. φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστ. ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι etc. S. floruit Ion Chius, vir celeber, circa Olymp. 82. vidl Bentl. Opusc. philol. p. 494. sequ. ed. Lips. et Fabric. B. gr. 2. p. 307. sequ. ed. Harl.

ΟΙ. τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες,
οἳ καόμενοι θέουσιν;
ΤΡ. ἀπὸ δείπνου τινὲς
795 τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων,
ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβὼν,
καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ,
στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος·
800 καὶ ταῦτα δράσας ἧκε δεῦρ' αὖθις πάλιν·
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ Βουλῇ τέως.
ΟΙ. πόθεν δ' ἔλαβες ταύτα σύ;
ΤΡ. πόθεν; ἐκ τοῦρανοῦ.
ΟΙ. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον,
εἰ πορνοβοσκοῦσ', ὥσπερ ἡμεῖς οἱ βροτοί.
805 ΤΡ. οὐκ, ἀλλὰ κἄκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
ΟΙ. ἄγε νυν ἴωμεν. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι;
ΤΡ. μηδέν· οὐ γὰρ ἐθελήσει φαγεῖν,
οὔτ' ἄρτον, οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
810 ΟΙ. λείχειν ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.
ΧΟ. εὐδαιμονικῶς ὁ πρεσβύτης, ὅσα γ' ὧδ' ἰδεῖν, τανῦν
τάδε πράττει. as., 2 ion. a. ma. d. c. et ion. br. στ.

794. οἱ καόμενοι. οἱ σπινθηρίζοντες, οἱ καιόμενοι διάττοντες, οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες. S. trajectiones stellarum, *Sternschnuppen*, de quibus Aristotelem Meteorol. 1, 4. sequ. laudavit Fl. Chr.

796. ἰπνούς. οὓς νῦν ἡμεῖς λαμπτῆρας ἢ φανοὺς (laternas) καλοῦμεν. τοὺς δὲ νῦν φανοὺς καλουμένους λύχνους τινάς φασι τῶν παλαιῶν, τὰς δὲ λαμπάδας τοὺς Τραγικοὺς φανούς, ἢ πανοὺς διὰ τοῦ π. S. de hoc vide, quos laudant, Aeschyl. Ag. 275. ed. Blomf. et Valck. ad Ammon. cf. etiam Euripidis interpp. ad Ion. 1188., de vocabulo ἰπνὸς autem 525. et annot. ad Plut. 811.

797. — τὴν μὲν Ὀπώραν τοῖς οἰκέταις ὁ Τρυγαῖος δίδωσιν ἀπάγειν εἰς τὴν οἰκίαν, ὡς αὐτὸς αὐτὴν γαμήσων. καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῆς εὐτρεπίσαι· τὴν δὲ Θεωρίαν αὐτός φησιν ἀπομόσας δώσειν τῇ Βουλῇ. — S.

802. ita Rav., nisi quod habet vulgatum ταῦτα. „ταύτα est dualis femin. generis, ut Acharn. 527. πόρνα.“ *Br.* sic etiam Dind.

804. πορν. cf. 509.

809. λείχειν ἄνω. τοῦτο καὶ τὸ ἑξῆς (versu sequ.) διὰ τὸ κακέμφατόν τινες παραιτοῦνται (h. e. ἀθετοῦσιν), ὅτι ἐπαμφοτεριζόντως λέλεκται, καὶ πρὸς τὸ πρᾶγμα (intell. τοῦ λείχειν ἀμβροσίαν), καὶ πρὸς τὸ ἀσελγές. S. laudavit Br. Martial. 2, 50. λείχειν — σκευαστ. *ergo hic quoque parandum illi est, quod lingat.*

811. metri genus, de quo ad 757.

ΤΡ. τί δῆτ', ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα; i. t. c.

ΧΟ. ζηλωτὸς ἔσει, γέρον, αὖθις νέος ὢν πάλιν, μύρῳ κατάλειπτος. as. simil. 811.

ΤΡ. οἶμαι. τί δῆθ', ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι; i. t. c.

815 (5) ΧΟ. εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.

ΤΡ. οὔκουν δικαίως, ὅστις εἰς ὄχημα κανθάρου 'πιβὰς i. t.
ἔσωσα τοὺς Ἕλληνας, ὥστ' ἐν τοῖς ἀγροῖσιν αὐτοὺς i. t. c.
ἅπαντας ὄντας ἀσφαλῶς κινεῖν τε καὶ καθεύδειν;

ΟΙ. ἡ παῖς λέλουται, καὶ τὰ τῆς πυγῆς καλά· i. tr.

820 ὁ πλακοῦς πέπεπται, σησαμῇ ξυμπλάττεται,
καὶ τἄλλ' ἀπαξάπαντα· τοῦ πέους δὲ δεῖ.

812. τί δῆτ' ἐρεῖτε —. cf. 814., Ach. 1010. etc. λαμπρὸν, *splendidum, elegantem.*

815. — στροβίλους φησὶ τούτους ἢ διὰ τὸ τραχὺ τοῦ σώματος, ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ στρόβιλοι, τουτέστιν οἱ κοχλίαι ἢ οἱ θαλάττιοι κήρυκες. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι, ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην. (ἄλλως.) στρόβιλος δέ ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθὰ καὶ ἀλλαχοῦ (758.) γυλιαύχενας. S. ita vocat Carcini filios, ludens in homonymia voc. στρόβιλος, quae et *nucem pineam* significat et *saltationis* genus quoddam, quia erant saltatores. (vox πολύσημος: vide Plat. Rep. 4, 149. et lexicographos.) simili ratione eosdem istos vocat ὀρχίλους Vesp. 1511., ludens in vocibus ὀρχεῖσθαι *saltare* et ὀρχίλος *orchilus, avicula quaedam.* Be.

818. κιν., καθ. cf. 340.

819. τὰ τῆς πυγῆς. h. e. ἡ πυγή. B. vid. Matth. gr. gr. §. 285.

820. membr. Paris. σησάμοις, Br. σησαμοῦς. σησαμῇ contractum esse dicas ex σησαμέῃ, ut χρυσῇ ex χρυσέῃ: sed inusitata est, quod sciam, forma σησάμεος. quodsi tamen bene habet vox, idem est σησαμῇ quod σησαμὶς, genus placentae ex sesamo et melle. S.: σησαμῇ. παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον διδόναι, ὅς ἐστι πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος, διὰ τὸ πολύγονον, ὡς φησι Μένανδρος. σησαμοῦς δὲ καὶ σησαμῇ διαφέρει. σησαμοῦς μὲν εἶδος πλακοῦντος, σησαμῇ (δὲ), ἣν φαμεν ἡμεῖς σησαμίδα. σήσαμα δὲ καὶ μήκωνες καὶ σισύμβρια φύλλα (vulgo: — σισύμβρια. φύλλα), οἷς στεφανοῦνται οἱ νυμφίοι. καὶ σησαμούντια πόπανα. ex his verbis σήσαμα δὲ — πόπανα colligere quis possit, fuisse olim exemplaria, in quibus legeretur σήσαμα ξυμπλάττεται. apud Schol. autem scribendum esse arbitror σήσαμα δὲ φύλλα, οἷς etc., deletis verbis καὶ μήκ. καὶ σισ., quae petita ex Av. 160., id quod Dobr. animadvertit, abhorrere mihi videntur ab hoc loco, etsi papaveris quoque et sisymbrii usum fuisse in nuptiis haud nego: ut hoc dicat Grammaticus, σήσαμα et folia sesami significare, quibus redimiri mos fuerit sponsos, et σησαμούντια πόπανα. cf. Avium l. l., et de sesamo Billerbeckii Flor. class. h. v.

ΤΡ. ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύσαντε τῇ Βουλῇ.
ΟΙ. τίς ἔσθ' αὕτη; τί φῃς;
ΤΡ. αὕτη Θεωρία 'στὶν, ἣν ἡμεῖς ποτε
825 ἐπαίομεν Βραυρῶναδ' ὑποπεπωκότες,
σάφ' ἴσθι, κἀλήφθη γε μόλις.
ΟΙ. ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα!
ΤΡ. εἶεν, τίς ἔσθ' ὑμῶν δίκαιος; τίς ποτε,
τίς διαφυλάξει τήνδε τῇ Βουλῇ λαβών;
830 οὗτος, τί περιγράφεις;
ΟΙ. τὸ δεῖν', ἐς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
ΤΡ. οὔπω λέγεθ' ὑμεῖς, τίς ὁ φυλάξων; — δεῦρο σύ·
καταθήσομαι γὰρ εἰς μέσους αὐτοὺς ἄγων.
ΟΙ. ἐκεινοσὶ νεύει.
ΤΡ. τίς;
ΟΙ. ὅστις; Ἀριφράδης,
835 ἄγειν παρ' αὐτὸν ἀντιβολῶν.
ΤΡ. ἀλλ', ὦ μέλε,

823. ἀνύσ. ponitur ap. Nostrum inprimis particip. ἀνύσας cum alio verbo sic, ut sit *quam celerrime*. v. Viger. de Id. l. gr. p. 350. ed. recentiss. B. Rav.: ἀνύσ. τῇ Βουλῇ ταυτηΐ. ΟΙΚ. τί φῃς; ex quo Dind. fecit ἀν. τῇ Β. ΟΙΚ. τίνα ταυτηνί; τί φῃς;

825. ἐπαίομεν. παίειν hic ut 849., Conc. 874. pro ἐλαύνειν et συνουσιάζειν. — *Fl. Chr.* Βραυρ. intell. ἰόντες vel quiddam simile. S.: Βραυρὼν πόλις τῆς Ἀττικῆς, ἐν ᾧ (scrib. ᾗ, vel πόλισμα,) τὰ Διονύσια ἤγοντο, καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. B.: vidd., monente B., qui de pagis Atticae scripserunt, ut Meursius, et Hemsterhus. ad Polluc. p. 1046., de sacris autem Dianae Brauroniae Potter. Arch. gr. t. 1. p. 818. sequ. interp. Ramb.

827. πρωκτ. παρόσον διὰ πεντετηροῦς χρόνου ἤγοντο αἱ θεωρίαι τῶν Διονυσίων. S.

828. δίκαιος, *probus et continens homo*. B.

830. τὸ δεῖνα. exclamatio. vid. Schneider. lex. gr. h. v. S. Rav.: ἐς Ἴσθμια. οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους. εἰς Ἴσθμια δὲ εἴρηκεν ἅμα ὅτι καὶ ἀγὼν Ἴσθμια, καὶ διὰ τὴν στενότητα τοῦ αἰδοίου τῆς πόρνης (διὸ καὶ εἶπε τῷ πέει σκηνὴν ποιῶ)· στενὸς δὲ καὶ ὁ Ἰσθμός. —

832. Trygaeus primum spectatores alloquitur, deinde (δεῦρο σύ) Theoriam. ad spectatores etiam pertinent verba μέσους αὐτοὺς et ἐκεινοσί. B.

833. Dind., nescio qua fide: κ. γ. αὐτὸς εἰς μέσους ἄ. potuisset etiam γάρ σ' αὐτός.

834. Ἀριφράδης, cunnilingus. vide Equ. 1290. sequ.

τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται. —
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
* Βουλῇ, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
σκέψασθ' ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
840 ὥστ' εὐθέως ἄραντας ὑμᾶς τῷ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάῤῥυσιν.
τουτὶ δ' ὁρᾶτε τοὐπτάνιον ὑμῖν καλόν!
διὰ ταῦτα καὶ κεκάπνικεν ἄρ'· ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ Βουλῇ ποτ' ἦν.
845 ἔπειτ' ἀγῶνά γ' εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,

836. quatenus Theoria (θεωρία) est festorum et sacrificiorum celebratio, per ζωμὸν intelligitur *jus culinarium*; sed quatenus meretrix, intelligitur ἡ ἀπόπτυστος δρόσος, quam solebat Ariphrades ἐν τοῖς κασαυρίοισι λείχειν, ut de eo loquitur in Eq. l. l. etiam sequentia, quae dicit de Theoria, duplicem habent sensum. *Be.*

837. haec non ad servum, sed ad Theoriam dicuntur, quam Senatui monstrare et tradere vult, ut est. σκεύη sunt omnia ejus ornamenta et instrumenta. B.

838. Βουλῇ, πρυτάνεις. appellatio ταυτολόγος minimeque elegans. ponendum censeo Βουλὴ πρύτανις, *Senatus supreme.* ita Aesch. Ag. 675. τύχῃ δὲ σωτῆρ pro σώτειρα. cf. Matth. gr. gr. §. 429, 4. et supra 520. nominativus πρύτανις pro vocativo usurpatus, ut saepe fit. πρυτάνεις nescio quis ineptus videtur scripsisse, qui verbum ὁρᾶτε relatum ad nomen singulare miraretur et 856. legisset ὦ Πρυτάνεις. de Prytanibus vidd. Harpocratio h, v. et scriptores antiquitatum gr.

841. ἀνάῤῥυσις κυρία τῶν Ἀπατουρίων ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις, τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναῤῥύσειν (ἀναῤῥύειν) τὸ ἐπιδύειν, ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν Ἀπατουρίων, Δόρπεια, Κουρεῶτις, Ἀνάῤῥυσις. — vereor ut de hoc festo cogitaverit Aristoph. ἀνάῤῥυσις videtur esse sacrificium, quae metaphora usitata est in re amoris.

842. quatenus Theoria est festorum celebratio, ὀπτάνιον est culina, ubi post sacrificium carnes coquuntur; quatenus est meretrix, τὸ αἰδοῖον ejus, quod monstrat. *Be.* Attici ὀπτάνιον [non ὀπτανεῖον] dicebant: vid. Phrynich. Etymol. *Bentl.*

843. καὶ κεκάπνικ'. ὡς ἀποπνευματισάσης. τὸ δὲ κεκάπνικεν ὡς ἐπὶ ὀπτανίου. S. imo fumum suffimentorum, ut in solenni sacrificio, ex ὀπτανίῳ isto exhalari fingit per ridiculum. — κεκάπνικεν, suppeditatum illud a Scholiasta, etiam nobis placuit, ut Brunckio. vulgo: κεκάπνικ' ἄρ', quod et ipsum ferri potest. Dind.: κεκάπνικ' ἄρ'· ἐνταυθὶ γὰρ ἦν Πρὸ — Βουλῇ ποτέ. vellem hanc lectionem in aliquo libro repertam esse.

844. τὰ λάσανα. ὅτι οὕτως οἱ χυτρόποδες. ἐπεὶ δὲ εἶπε τὸ ὀπτανεῖον, ἐπήγαγε καὶ τὰ λάσανα. δηλοῖ δὲ (?) τοὺς δασεῖς αὐτῆς μηρούς. — S.

845. Rav. ἀγῶνά τ'. Dind. ἀγῶνα δ'.

847. ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων καὶ θεωρίας. S. τῷ τετραποδηδὸν ἑστάναι nihil aliud

καὶ παγκράτιόν γ' ὑπαλειψαμένοις νεανικῶς
παίειν, ὀρύττειν, πυξ ὁμοῦ καὶ τῷ πέει.
850 τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε,
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ,
ἅρματα δ' ἐπ' ἀλλήλοισιν ἀνατετραμμένα
φυσῶντα καὶ πνέοντα προσκινήσεται·
ἕτεροι δὲ κείσονταί γ' ἀπεψωλημένοι
855 περὶ ταῖσι κάμπαις ἡνίοχοι πεπτωκότες.
ἀλλ', ὦ Πρυτάνεις, δέχεσθε τὴν Θεωρίαν. —
θέασ', ὡς προθύμως ὁ Πρύτανις παρεδέξατο!
ἀλλ' οὐκ ἄν, εἴ τι προῖκα προσαγαγεῖν σ' ἔδει,
ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα τὴν ἐκεχειρίαν.
860 ΧΟ. ἦ χρηστὸς ἀνὴρ πολίτης ἐστὶν ἅπασιν, ὅστις γ' ἐστὶ τοιοῦτος! ἀντ.
ΤΡ. ὅταν τρυγᾶτ', εἴσεσθε πολλῷ μᾶλλον, οἷός εἰμι.
ΧΟ. καὶ νῦν σύ γε δῆλος εἶ· σωτὴρ γὰρ ἅπασιν ἀνθρώποις γεγένησαι...
ΤΡ. φήσεις, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.

significari videtur quam venus stataria, simili joco Francogalli *faire la bête à deux dos*.

849. πυξ ὁμοῦ. παρὰ τὸ λεγόμενον πυξ ὁμοῦ καὶ τῷ σκέλει. παρὰ προσδοκίαν οὖν ἀντὶ τοῦ τῷ σκέλει, δεικνύς τε τὰ μὲν ὡς ἐπὶ παλαισμάτων, τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων. S.

850. ἱππ. τὸ γὰρ παλαιὸν ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν τοῖς ἀγῶσι. S.

851. κέλης κέλητα. παρὰ τὴν συνουσίαν καὶ τοὺς κέλητας ἵππους, οἵ εἰσι μονάτορες. S.

852. ἀντὶ τοῦ εἰπεῖν σώματα περικείμενα ἀλλήλων ἅρματα εἶπε. τῇ δὲ τρίτῃ τῶν Ἀπατουρίων ἱπποδρομία ἄγεται. S.

853. προσκιν. ut Lys. 227. cf., si tanti est, Fl. Chr. et Be.

855. κάμπαις. συστροφαῖς. — S. vocat καμπὰς flexus, qui fiebant post evitatam metam ad carceres etc. *Fl. Chr.*

856. seqq. τοῖς πρυτάνεσιν ἔθος ἦν προάγειν τοὺς δεομένους εἰς τὴν Βουλὴν, καὶ δῆλον ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρηζόντων προελθεῖν. — σκώπτει γοῦν αὐτοὺς λήμματος. — τὴν δὲ ἐκεχειρίαν ἅμα μὲν ὡς προφασιζομένων, ὅτι ἐκεχειρία ἐστὶν, οὐ δυνάμεθα τήμερον προσάγειν. — ἐκεχειρία (h. e. proprie ἐχεχειρία) δὲ ἡ ἀνοχὴ τοῦ πολέμου, παρὰ τὸ ἀπέχειν τὰς χεῖρας. (etiam τροπικῶς dicitur, velut Tatius p. 164. ed. Jacobs.: πάσης εἶναι δεῖν τιμωρίας ἐκεχειρίαν. h. l. significat *justitium*, quod Prytanem causari (ὑπέχειν) dicit, si quis nihil doni afferat.) — S.

860. ἐστὶν ἅπ., *est omnibus*, h. e. habent eum omnes pro viro bono.

861. ὅταν τρ. quando vindemia erit, ut in pace.

863. λεπ. εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτω Σύμμαχος· ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται. S. *Lepestam* Karro videtur vocasse in libro de vita populi Rom. — *Fl. Chr.* Imo *lepistam* seu *lepastam*. v. Non. 15, 35., Fest. p. 375. ed. Gothofr. Cratinum, qui

ΧΟ. καὶ πλήν γε τῶν θεῶν ἀεί σ' ἡγησόμεσθα πρῶτον.
865 ΤΡ. πολλῶν γὰρ ὑμῖν ἄξιος Τρυγαῖος Ἀθμονεὺς ἐγώ,
δεινῶν ἀπαλλάξας πόνων τὸν δημότην ὅμιλον
καὶ τὸν γεωργικὸν λεών, Ὑπέρβολόν τε παύσας.
ΧΟ. ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον; i. tr.
ΤΡ. τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;
870 ΧΟ. χύτραισιν, ὥσπερ μεμφόμενον Ἑρμίδιον;
ΤΡ. τί δὴ δοκεῖ; βούλεσθε λαρινῷ βοῖ;

vocabulo λεπασται (κύλικές τινες) usus sit, laudavit Phot. p. 157. B.

865. ita Porson. ad Hecub. 313. aliique. libri solito errore Ἀθμονεύς.

866. δημότην. δημοτικόν. tribulibus suis et omnino agricolis opem se tulisse ait bello laborantibus, quo urbani minus affligebantur.

867. de Hyperbolo dictum ad 656.

869. χύτραις ἱδρ. ὁτὲ μὲν ταῖς χύτραις ὄσπρια ἥψων, ὁτὲ δὲ ἄλλο τι πολυτελέστερον ἱερεῖον, καὶ οὕτως ἵδρυον, καὶ πρὸς τὸ θυόμενον ἔλεγον βοῖ ἱδρύεσθαι, ἢ αἰγί, ἢ προβάτῳ, ἢ οἷον ἂν ᾖ τὸ ἱερεῖον, ὥσπερ ἐν Πλούτῳ. (1193., ubi vid. annot.) ἄλλως. ἔθος εἶχον Ἑρμᾶς ἱδρύοντες πρὸ τῶν, καὶ ἄλλα τινὰ ἀγάλματα, ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν, χύτραις ἀθάρας ἱδρύεσθαι καὶ ἄλλοις τισίν. ἄλλως. ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο, τούτοις τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὕτος εἶπεν ἐν Δαναΐσι· μαρτύρομαι δὲ Ζηνὸς ἐρκείου χύτρας, Μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύνθη ποτέ. ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύετο, ὥς φησι καὶ ἐν τοῖς ἐξῆς ( ) etc. S.

870. ἠγανάκτησαν ἐν χύτραις ἀκούσαντες ἱδρύεσθαι τὴν Εἰρήνην, ὡς εὐτελοῦς οὔσης τῆς θυσίας ἐκ τῶν (fort. ἐκτὸς) ἄλλων. διό φασιν ἄλλαις ἱεροσύναις αὐτὴν ὥσπερ πολυτίμητον θεραπεύσωμεν. ἐν δὲ τοῖς ἐξῆς (1030.) ἱερείῳ φησὶν ἱδρύσασθαι οὕτως αὐτήν· ὥς οἱ μὲν — ἱερείῳ. Ἑρμ. (cf. 376.) ἀντὶ τοῦ εὐτελὲς, ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολύ, ὡς μέμφεσθαι αὐτόν. S. Sensus est: ollisne (leguminum adhibitis) eam consecremus, veluti Hermulam, quae queritur se coli vili ritu (i. e. vilem)? B. locutio insolens. de cultu Εἰρήνης seu Pacis deae ap. Graecos et Rom. vidd. Paus. Att. 8., Boeot. 16., Plut. Cimone, Sueton. Vespas. c. 9., Plin. H. N. 33, 8. Hirt. *Bilderb. für Mythol.* p. 104 sequ., aliique.

871. λαρινῷ. Casaub. ad Ath. 9, 4.: „Graecis λαρὸν et λαρινὸν dicitur τὸ ἡδύ (Phot. lex. p. 152., Zonar. 2, 1289. B.), quod placet ac gratum est: inde λαρινεύειν dictum, quod non simpliciter σιτίζεσθαι significat, ut Athen. interpretatur, sed *habere molliter et delicate.* Epirotici boves Larini (λαρινοί) dicti, quod ad victimas impinguabant, ut docet Varro lib. de Re rust. (cap. 5, 10., ubi cf. Schneider. t. 1. p. 2. p. 447. B.) Graeci Grammatici a Larino quodam, aut a Larina, quae fuerit pagus aliquis Epiroticus (secundum Athen. l. l.), ita dictos boves istos putant. *Be.* S. inter alia: λαρινῷ. μεγάλῳ καὶ εὐτραφεῖ. τοὺς δὲ Ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρινοῦ βουκόλου, παραλαβόντος παρὰ Ἡρακλέους τοὺς Γηρυόνου βοῦς καὶ θρέψαντος εἰς εὐεξίαν. τοῦτο δὲ Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ' τῆς καθόλου, λαρινὸς ὡς ἀληθινὸς, ὥστε περισπαστέον τὴν δοτικὴν λαρινῷ.

ΧΟ. βοῖ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέοι.
ΤΡ. ἀλλ' ὑῖ παχείᾳ καὶ μεγάλῃ;
ΧΟ. μὴ, μή.
ΤΡ. τιή;
ΧΟ. ἵνα μὴ γένηται Θεαγένους ὑηνία.
875 ΤΡ. τῷ δὴ δοκεῖ σοι δῆτα τῶν λοιπῶν;
ΧΟ. ὀῖ.
ΤΡ. ὀῖ;
ΧΟ. ναὶ μὰ Δί'.
ΤΡ. ἀλλὰ τοῦτό γ' ἔστ' Ἰωνικὸν τὸ ῥῆμ'.
ΧΟ. ἐπίτηδές γ', ἵν', ἐὰν ἐν τῇ ἐκκλησίᾳ ὡς χρὴ πολεμεῖν λέγοι τις, οἱ καθήμενοι ὑπὸ τοῦ δέους λέγωσ' Ἰωνικῶς ὀῖ...
880 ΤΡ. εὖ τοι λέγεις.
ΧΟ. καὶ τἄλλα γ' ὥσιν ἤπιοι· ὥστ' ἐσόμεθ' ἀλλήλοισιν ἄμνοι τοὺς τρόπους, καὶ τοῖσι συμμάχοισι πρᾳότεροι πολύ.
ΤΡ. ἴθι νυν, ἄγ' ὡς τάχιστα τὸ πρόβατον λαβών· ἐγὼ δὲ πορεῦ βωμὸν ἐφ' ὅτου θύσομεν.
885 ΧΟ. ὡς πάνθ', ὅσ' ἂν θεὸς θέλῃ γε χὴ τύχη κατορθοῖ, i. t. c. ἀλλοιόσν.
χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ τούτων κατὰ καιρὸν ἀπαντᾷ! a. Arist.

872. βοηθεῖν. ἐπὶ μάχην δραμεῖν. S. verbis ludit, ut etiam in seqq.

874. Θεαγ. ὑηνία. μωρία, ἀμαθία. διεβάλλετο γὰρ ὁ Θεαγένης εἰς μαλακίαν, καὶ ὡς μωρὸς καὶ ὑώδης. ἦν δὲ ἐκ Πειραιῶς. ἐδόκει δὲ καὶ πένης εἶναι, θρύπτεσθαι δὲ ἐπὶ πλούτῳ. ἦν δὲ τὸ σῶμα παχὺς καὶ λοίδορος. — ἔστι δὲ ἄλλος Θεαγ., ὁ εἰς Ὅμηρον γράψας, ὃς καὶ ἐπὶ μαλακίᾳ διεβάλλετο, καὶ ἄλλοι πολλοί. S. velut, monente Fl. Chr., Megarensium ille rex, Cylonis socer, ap. Thuc. 1, 126.

876. Ἰωνικόν. οἱ γὰρ Ἴωνες διευλλάβως λέγουσιν ὅϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως τὰς οἷς etc. S.

877. ita Porson. ap. Dobr. libri mendose: τὸ ῥῆμά γ'. ΧΟ. ἐπ. γ', ἵν' ἐν τῇ ἐκκλησίᾳ. Rav. ῥῆμα. ΧΟ. ἐπίτ., omisso γὲ, et sequ. versu λέγοι, ut Br., ubi vulgo habetur λέγει. quod attinet ad neglectum ἐὰν, sequente ἐν, simile simili videtur offecisse, ut solet fieri. — ἐπίτηδες. cf. 717.

879. ἵνα ἐπιστένωσι τῷ εἰσηγουμένῳ πόλεμον. τὸ γὰρ ὀῖ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα καὶ δυσχεραινόντων. (est οἴ vulgare.) Δίδυμος δὲ ἐν ἐπτάσει (ut scribendum sit ὀῖ). οἱ γὰρ φοβούμενοι οὕτω λέγουσιν. S.

881. ἄμνοι τοὺς τρόπους. εὐήθεις, δειλοὶ ὡς οἱ κριοί. — S.

ΤΡ. ὡς ταῦτα δῆλά γ' ἔσθ' · ὁ γὰρ βωμὸς θύρασι καὶ δή. i. t. c.
ἐπείγετε νῦν, ἐν ὅσῳ amphibr. tr. c.
σοβαρὰ θεόθεν κατέχει πολέμου a. d.
890 μετάτροπος αὔρα· i. h.
νῦν γὰρ δαίμων φανερῶς ἐς ἀγαθὰ μεταβιβάζει. as., a. d. br. et an.
ΧΟ. τὸ κανοῦν πάρεστ', ὁλὰς ἔχον, καὶ στέμμα, καὶ μάχαιραν, i. t. c.
καὶ πῦρ γε τουτὶ, κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.
ΤΡ. οὔκουν ἁμιλλήσεσθον; an.
895 ὡς, ἢν Χαῖρις ὑμᾶς ἴδῃ, as., ant. et i.
πρόσεισιν αὐλήσων ἄκλητος, κᾆτα, τοῦτ' εὖ οἶδ' ὅτι, i. t.
φυσῶντι καὶ πονουμένῳ προσδώσετε δήπου. as., i. d. et a. h.
ἄγε δὴ, τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα i. tr.

887. ita Suid. vv. βωμὸς et θύρασι, Dobr. in annot., Dind. vulgo θύραισι. vide Elmsl. ad Soph. Oedip. Col. 366. et Eurip. Med. 466. p. 157., collato Eurip. El. 1007. sic etiam 966. versu hujus fabulae erratum est. — ὁ γὰρ — δή. paulo insolentius est, καὶ δὴ poni in extrema sententia; nec tamen quidquam mutandum, sed hyperbaton hoc est, ita explicandum: καὶ γὰρ ὁ βωμὸς θύρασι δή. alioqui καὶ δὴ referri posset ad seqq.: καὶ δὴ ἐπείγετε etc.

888—898. perincommode libri: ΧΟ. ἐπείγετε —. ΤΡ. τὸ κανοῦν —. ΧΟ. οὔκουν —. ΤΡ. ἄγε δὴ etc. vel imperativus ἐπείγετε et futura ἁμιλλήσεσθον, προσδώσετε, indicio esse poterant, haec Choro dici a Trygaeo, non contra. — ἐν ὅσῳ — αὔρα. *quando mobilis obtinet divinitus* sive *invalescit aura illa quae bellum convertit*, h. e. finivit. μετάτροπος πολέμου, ut ἀνθρώπων δημόνες Herod. 2, 74. quod cum aliis genitivi sic usurpati exemplis protulit Matth. gr. gr. §. 322. A. 1. male Be.: „dum — *cessat* belli mutabilis aura." nusquam κατέχειν est *cessare*. — S. σοβαρὰ, σεσοβημένη, εὐκίνητος.

892. instrumentum sacrificii. S. ὁλάς. ἀντὶ κριθάς. ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὁλαῖς καὶ τοῖς στέμμασι. — Be.: πλὴν τὸ πρόβατον. quasi dicas *et ephippium et frenum habeo, tantum equum non habeo*, ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα. neque hodie certe mactabitur illa ovis, etsi omnia ad sacrificandum parata sunt, ἀλλ' ὄψει προφάσεις αὐτὸν παρέχοντα infra 961.

894. duobus servis haec dicit, quorum deinde unum appellat 898. cf. 902.

895. Χαῖρις. τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός. S. idem de hoc Chaeride ad Av. 859., monente Be.: ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις.

896. fort. κᾆτα τοῦτ' (argentum quod monstrat), εὖ etc., siquidem dici solet εὖ ο. ὅτι.

περιϊθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
900 ΟΙ. ἰδού. λέγοις ἂν ἄλλο· περιελήλυθα.
ΤΡ. φέρε δή, τὸ δαλίον τόδ' ἐμβάψω λαβών.
σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὁλῶν,
καὐτός τε χερνίπτου, παραδοὺς ταύτην ἐμοί,
καὶ τοῖσι θεαταῖς ῥίπτε τῶν κριθῶν.
ΟΙ. ἰδού.
905 ΤΡ. ἔδωκας ἤδη;
ΟΙ. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων, ὅσοιπέρ εἰσι, τῶν θεωμένων
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
ΤΡ. οὐχ αἱ γυναῖκές γ' ἔλαβον;
ΟΙ. ἀλλ' εἰς ἑσπέραν
δώσουσιν αὐταῖς ἄνδρες.
ΤΡ. ἀλλ' εὐχώμεθα.
910 τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί;

899. περιϊθι. τοῦτο πρῶτον ἐποίουν, καθαίροντες τὸν βωμόν. S. — nam prius quam sacrificarent, liquore expiatorio vel aqua manuali abluebantur. — hinc lustralis unda, qua etiam utuntur Christiani, et quam sacerdos spargit circa populum, antequam sacra peragat. propterea hic dicitur περιϊθι. — aqua autem illa spargi vett. vocabant χερνίπτεσθαι. (903.) lege Athen. 9. (t. 3. p. 511. seqq. ed. Schweigh.) etc. *Fl. Chr.*

900. ἰδού. vox obedientis. vid. index h. v.

901. δαλίον Suid. h. v. 1. p. 506., probante ibi Kustero ex Eurip. Herc. fur. 928. (837.) *Dobr.* ita etiam Br. et alii. codd. Arist. δαδίον. Hesych., laudante Br.: δαλίον· δαλόν. ἐν ταῖς ἱεροποιΐαις εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χέρνιβα, καὶ περιῤῥαίνειν τὸν βωμόν. vid. Lysistr. 1129. S.: — καθαρτικὸν γὰρ πάντων τὸ πῦρ. — cf. Eurip. Iphig. A. 995. etc.

902. σείου. torrem famulo traditum quassari et aqua conspergi aram jubet. — B.: πρότ. τῶν ὁλῶν, scil. τι, partem molae salsae porrige.

903. ταύτην, τὴν χέρνιβα, quod intelligendum ex vocabulo χερνίπτου, h. e. vas, in quo erat aqua lustralis. id vas ab altero servo, qui fert, accipit Trygaeus, ipsique porrigit ad conspergendum sese aqua, hordeum seu molam salsam jam ante ab eodem accepit (πρότεινε τῶν ὁλῶν), quam nunc spargere jubet hominem in spectatores. quam vulgo intelligunt, facem, τὴν δᾷδα, ne accipere quidem ab hoc servo potuit Trygaeus, qui alteri tradiderit in aqua tinctam 901. sequ.

904. τῶν κριθῶν videtur in usu fuisse positum, ut hordei (et bellariorum: vide Plut. 793. sequ., Vesp. 58. et ibi Br.) sparsiones fierent in populum. sic et ap. Romanos ludis floralibus omnia semina spargebantur in populum, ut Tellus suis muneribus placaretur: unde Persius (5, 177.) *vigila et cicer ingere large Rixanti populo.* —

907. πρὸς τὴν κριθὴν παίζει. ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον. — S.

910. τίς τῇδε; σπένδοντες γὰρ ἔλεγον τίς τῇδε; ἀντὶ τοῦ τίς

ΟΙ. τοισδὶ φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
ΤΡ. τούτους ἀγαθοὺς ἐνόμισας;
ΟΙ. οὐ γὰρ, οἵ τινες,
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ,
ἐς ταὐτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
915 ΤΡ. ἀλλ' ὡς τάχιστ' εὐχώμεθ', εὐχώμεσθα δή.
ὦ σεμνοτάτη βασίλεια, θεὰ a. d.
πότνι' Εἰρήνη, a.
δέσποινα χορῶν, δέσποινα γάμων, a. d.
δέξαι θυσίαν τὴν ἡμετέραν!
920 ΧΟ. δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποιει γ', ἅπερ αἱ
μοιχευόμεναι δρῶσι γυναῖκες·
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσιν·
925 κἂν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσιν. a.
[κᾆτ', ἢν ἀπίῃ, παρακύπτουσιν.] a. d.
τούτων σὺ ποιει μηδὲν ἔθ' ἡμᾶς.
ΤΡ. μὰ Δί' ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
930 γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη· a.
λῦσον δὲ μάχας καὶ κορκορυγάς, a. d.

πάρεστιν; εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον πολλοὶ κἀγαθοί. S.

911. τοισδί. τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν ὕδωρ ἐπὶ γέλωτι —. S. aqua lustrali Chorum conspergit, precaturum deam Pacem.

912. οὐ γάρ εἰσιν ἀγαθοί, viri boni, h. e. mites placidique, ut qui aqua large conspersi nobis non irascantur, neque diffugiant, sed eodem loco, quo antea, consistant. atqui id facere debebat Chorus; sed jocatur servulus.

918. χορῶν, γάμων. siquidem neque chori duci, neque nuptiae fieri, nisi in pace solent, ut monuit H. Vossius.

923. παρακλ. παρανοίξασαι. Ὅμηρος (Il. 5, 751.) · ἀνακλῖναι πυκινὸν νέφος. S. intell. τὴν αὐλείαν θύραν.

924. τῆς αὐλ. ἐκ τῆς αὐλ.

927. suspecta: neque enim multum conferunt ad sententiam, et scribendum erat, ni fallor, παρακύπτουσιν αὖθις, vel quiddam simile.

931. σου, *te propter*. vide Matth. gr. gr. §. 345., Soph. Philoct. 714. etc.

933. κορκ. τὰς βοὰς, τὰς ταραχὰς, θορύβους. S. Lys. 490., monente Br., αἰεί τινα κορκορυγὴν ἐκύκων. similiter etiam alii lexicographi. vid. Tittmann. ad Zon. 2, 1242.

ἵνα Λυσιμάχην σε καλῶμεν·
935 παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους, a.
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους· a. d.
μίξον δ' ἡμᾶς τοὺς Ἕλληνας
πάλιν ἐξ ἀρχῆς φιλίας χυλῷ,
940 καὶ ξυγγνώμῃ τινὶ πρᾳοτέρᾳ
κέρασον τὸν νοῦν· ὡς τὴν ἀγορὰν
ἡμῖν ἀγαθῶν ἐμπλησθῆναι,
μεγάλων σκορόδων, σικύων πρῴων,
μήλων, ῥοιῶν, a.
945 δούλοισι χλανισκιδίων μικρῶν· a. d.
κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
χῆνας, νῆττας, φάττας, τροχίλους,
καὶ Κωπᾴδων ἐλθεῖν σπυρίδας,

934. *Λυσ.* nempe ut ex re nomen habeat. sic in Lys. 556. *οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι. Be.*

935. *cessare fac istas admodum quaesitas* (*περικόμψους*, factas sive injectas argutius) *suspiciones, quibus nos invicem altercando lacessimus; imo nos Graecos rursus amicitiae succo commisce, et mentem tempera mansuetiori quadam venia* (ignoscendi voluntate). B. S.: *ὑπονοίας. ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σπονδάς.*

939. *φιλίας χυλῷ. ὡς ἐπὶ κακουμένων. χυλῷ οὖν τῷ ῥοφήματι.* S. imo metaphora videtur esse a male coquentibus, quod iis evenire solet, qui cibis disparibus et velut inimicis vescuntur, acidis dulcia temere ingerentes, calidisque frigida; quorum isto tempore similes erant Graeci dissidentes inter se et bellis civilibus labefactati.

941. *ὡς.* vid. sequens annot.

942. infinitivi *ἐμπλησθῆναι* etc. pendent ab imperativo *δίδου* 959. B. interpretabatur vir eruditissimus vulgatam lectionem *καὶ τὴν ἀγορὰν* etc. sed Suidas MS. v. *περικόμψους*, teste Dobraeo, habet *ὡς τὴν ἀγορὰν*, quas voculas non semel permixtas esse scimus in codd.: vide Elmsl. ad Soph. Oed. Col. 16., Jacobs. Tat. p. 643., Musgrav. ad Soph. Antig. 605., nos ad Eurip. Herc. fur. 719. etc. jam infinitivi tantum illi *ἰδεῖν*, *ἐλθεῖν* et sequentes usque ad *ἐπιχαίρειν* referuntur ad *δίδου*, quae longe facilior et minus molesta est constructio verborum.

943. *σικύων*, a *σίκυς* sive *σίκυος*, cucumis sativa, *die gemeine Gurke* oder *Kukumber*. S.: *σικ. πρῴων. ἐν εἰρήνῃ ὄντες* (fort. *ὄντων*) *πολλὴν δι' ἐπιμέλειαν καὶ πρῷα σικύα* (*πρῷοι σίκυοι*) *γίνονται.* —

945. *δούλοισι*, servis, in usum servorum. cf. 991. etc. etiam ista *χλανισκίδια* Megaris importata esse videntur, sicut allia et fruges.

946. *Βοιωτῶν. ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία.* — S. conferri jubent Ach. 881. seqq.

948. ita Elmsl. ad Ach. 891. et eum secutus Dind. Elmsl. l. l.: „*Κωπαΐδων*," inquit, „vulgo, et *Κωπαΐδ'* inferius v. 962. In hujusmodi vocibus vel produci debet vocalis ante *ι*, vel crasis ad-

καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
950 ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς, κἄτα Μελάνθιον
ἥκειν ὕστερον εἰς τὴν ἀγορὰν,
τὰς δὲ πεπράσθαι, τὸν δ' ὀτοτύζειν,
955 εἶτα μονῳδεῖν ἐκ Μηδείας
ὀλόμαν, ὀλόμαν, ἀποχηρωθεὶς
τὰς ἐν τευτλοισι λοχευομένας!
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν, a. par.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου! i. tr.
960 ΟΙ. λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν.
ΤΡ. ἀλλ' οὐ θέμις.
ΟΙ. τιή; τί δή;

hiberi" etc. S.: Κωπαΐς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλυς (ἐγχέλεις) γίνονται, ὡς καὶ ἐν Ἀχαρνεῦσι (l. l.)· πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν. de palude Copaïde Pausan. 9, 24.: ἐξ Ἀκραιφνίου δὲ ἰόντι εὐθεῖαν ἐπὶ λίμνην τὴν Κηφισσίδα (οἱ δὲ Κωπαΐδα ὀνομάζουσι τὴν αὐτὴν) πεδίον καλούμενόν ἐστιν Ἀθαμάντιον· οἰκῆσαι δὲ Ἀθάμαντα ἐν αὐτῷ φασιν. ἐς δὲ τὴν λίμνην ὅ τε ποταμὸς ὁ Κηφισσὸς ἐκδίδωσιν, ἀρχόμενος ἐκ Λιλαίας τῆς Φωκέων, καὶ διαπλεύσαντι ἐς Κώπας κεῖνται αἱ Κῶπαι πόλισμα ἐπὶ τῇ λίμνῃ. τούτου δὲ καὶ Ὅμηρος ἐποιήσατο ἐν καταλόγῳ μνήμην. — οἱ μὲν δὴ ἰχθῦς οἱ ἐν τῇ Κηφισσίδι οὐδέν τι διάφορον ἐς ἄλλους ἰχθῦς τοὺς λιμναίους ἔχουσιν· αἱ δὲ ἐγχέλεις αὐτόθι καὶ μεγέθει μέγισται, καὶ ἐσθίειν εἶσιν ἥδισται. — Κωπάδων. h. e. ἐγχελέων Κωπ.

950. τυρβ. cum dativo, ut ὠστίζεσθαι in Ach. 844., ubi item de turba in foro obsonantium οὐδ' ὠστιεῖ Κλεωνύμῳ. Be.

951. nomina helluonum, de quibus Be. conferri jubet Av. 168., Acharn. 887., Thesm. 1062., Plato Com. ap. Schol. ad Nub. 109.: ὦ θεῖε Μόρυχε, τὸ νῦν γὰρ εὐδαίμων ἔφυς, Καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας, Οἳ ζῆτε τερπνὸν οὐδὲν ἐνθυμούμενοι. Schol. Rav.: Μορ. Τελέᾳ. καὶ (imo ὡς: vid. annot. ad 942.) τούτους ἀεὶ ἀπεῖναι βούλεται τῶν ὄψων. διὰ τοῦτο αὐτοὺς κολάζει ὡς γαστριμάργους etc.

952. τένθαι sunt, vett. Grammaticis auctoribus, λίχνοι, gulosi, helluones. v. Photii lex. p. 424., Zonar. 2. p. 1717., Timaeus Gl. Plat. p. 252. ibique Ruhnken. B. cf. 1060. et de Melanthio S. ad 766.

954. τὰς δέ. τὰς ἐγχέλεις.

955. ἐκ Μηδ. tragoedia Melanthii.

956. ita Suid. v. μονῳδεῖν, Fl. Chr. in annot., Dind. vulgo ἀποχειρωθεὶς, quod vereor ut sit usitatum.

957. τὰς — λοχ. anguillas Copaïcas. S.: λοχ. καὶ ἐν τοῖς Ἀχαρνεῦσιν (902.) ἔφαμεν, τοὺς μαγείρους μετὰ τευτλων ἕψειν τὰς ἐγχέλεις. — λοχ. pro λοχωμένας, occultas, absconditas, h. e. betarum foliis involutas. de betis dictum ad Ran. 893.

958. τοὺς δ' ἀ. ἐπ. τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι. S.

ΤΡ. οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
965 χοῦτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.
ΧΟ. σὲ δὴ θύρασι χρὴ μένοντα νῦν i. tr. br. ἀλλοιόστ.
σχίζας δευρὶ τιθέναι ταχέως, τά τε πρόσφορ' ἅπαντ'
ἐπὶ τούτοις. a. Arist.
ΤΡ. οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι; i. t. c.
ΧΟ. * πῶς δ' οὐχί; τί γάρ σε πέφευγ', ὅσα χρὴ a. d.
970 σοφὸν ἄνδρα; τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν
χρεὼν ἐστι τὸν σοφῇ δόκιμον φρενὶ as., ant. et gl.
πορίμῳ τε τόλμῃ; i. h.
ΤΡ. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει. i. t. c.

962. ταῦτα πρὸς τὸ ἔθος. φασὶ γὰρ τῇ τῶν Συνοικείων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα. — ἄλλως. πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς. — S.

965. χοῦτω τὸ προ. διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα (ἀποκερδαίνειν) τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρουμένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σωθήσεται (σώζεται) τῷ ἱερεῖ, ἐπὰν θύσωσιν. S. H. Voss.: „Die fleischlosen Schenkelknochen, mit Nezhaut und Fett umwickelt, (adde: und bei Homer mit Abschnitzeln von allen Gliedern des Opferthiers belegt: vidd. Homer. Il. 1, 461. et J. H. Voss. *Mythol. Briefe* 39. circa finem.) werden verbrannt; das Fleisch (bei Homer das *übrige* Fleisch. Iliad. 1, 465. μίστυλλόν τ' ἄρα τἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν etc.) verzehren die Opferer. Statt der Schmausenden wird scherzhaft der Chorage genannt, der die Schauspieler zu beköstigen hatte: Ach. 1161. (1168. sequ.)" Imo praeter expectationem τῷ χορηγῷ dixit pro τῷ ἱερεῖ. ceterum recte Vossius.

966. θύρασι. cf. 887.

967. σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος (Il. 1, 462.) · καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων. S.

968. μαντικοῦ (sic) τὸ φρ. οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ ἐπιστήμην τὴν ἑαυτῶν. S.

969. seqq. ταυτολόγα et oppleta interpretationibus. hoc ab Aristophane esse puto:

πῶς δ' οὐχί; τί γάρ σε πέφευγεν; a. par.
τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν χρεὼν i. d.
τὸν σοφῇ δόκιμον φρενὶ gl.
πορίμῳ τε τόλμῃ; i. h.

τί — πέφευγεν; *quid te fugere*, seu *praeterire solet?*

971. δόκιμον, *probatum.*

972. πορίμῳ, εὐπόρῳ, sagaci, solerti.

973. ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις —. ὃν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ ἐν Σικελίᾳ ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν· ὡς αὖ τιν' ἔλθω δῆτά σοι τῶν μάντεων. πότερος ἀμείνων ἀμφοτέρων ἢ Στιλβί-

καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.
975 ΧΟ. τίς ἂν οὐκ ἐπαινέσειεν ἄνδρα τοιοῦτον, as., an. et adon.
ὅστις πόλλ' ἀνατλὰς ἔσωσε τὴν ἱερὰν πόλιν, as., pher. et gl.
ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν ζηλωτὸς ἅπασιν; as., i. d. et a. h.
ΟΙ. ταυτὶ δέδραται. τίθεσο τῷ μηρῷ λαβών· i. tr.
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
980 ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.
ΟΙ. ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
ΤΡ. ὄπτα καλῶς νυν ταῦτα· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἄρα ποτ' ἐστίν;
ΟΙ. ὡς ἀλαζὼν φαίνεται,

δης; — πιέζει. λυπεῖ. ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι. S.

974. τράπ., in qua dissecanda est victima. cf. 998. οἴσομαι, apportabo.

975. vulgo: τίς οὐκ ἂν ἐπαιν., quod et ipsum ferri potest. sed Rav. τίς ἂν οὖν οὐκ ἐπαιν., in quo οὖν esse a mala manu intellexit B.

976. τὴν ἱερὰν πόλιν, Athenas. Monet Casaub. ad Equ. 586., in universum urbibus nomen sanctarum convenire propterea, quod magna cum religione instituerentur et fundarentur; inprimis autem Athenas fuisse quasi omnium numinum hospitium, non patriorum modo aut tutelarium deorum, imo dei incogniti (Act. Apost. 17, 23.). praeterea Minervae urbem Athenarum consecraverat Amphictyon rex: quamobrem τὰ Παλλάδος appellatur ap. Euripidem Suppl. 696. cf. ejusdem Ion. 9., et index Euripidis a nobis editi v. Athenae sanctae.

977. ζηλωτὸς, *invidendus, admirabilis.*

978. Redit Famulus in scenam afferens femora (ossa femorum: vide 964.), quae igni imponi a Trygaeo vult; sed ille mavult id a famulo fieri, ipse autem vult intrare, ut extis scil. (et carne victimae) et farre ipse vescatur. B. τίθεσο, impone igni.

979. θυλήματα. τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἅλφιτα. ἐπιῤῥαίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης στεροῖς· (Fl. Chr. Στεῤῥοῖς non intercedo, quominus ita scribatur; sed fieri tamen potest, ut σ in στεροῖς ad nomen praegressum pertineat, littera male geminata, ut saepe factum est, ponendumque sit Τηλεκλείδης Ἱεροῖς.) ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων. S.

980. ἀλλ' ἥ. χρ. *igitur oportebat te hic adesse.* accelerato opus esse ait, quae vis est imperfecti. quodsi dixisset ἀλλ' ἥκειν χρή, hoc tantummodo significasset, redeundum esse puero.

981. ἐπισχεῖν. βραδύνειν, quae interpretatio hujus vocabuli est inter Suidae, ut annotavit Fl. Chr.

983. οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης. S.

984. ὡς — ἔστιν. *pro arrogantia, quam prae se fert vultu, va-*

985 μάντις τίς ἐστιν.
ΤΡ. οὐ μὰ Δί' ἀλλ' Ἱεροκλέης.
ΟΙ. αὐτός γέ πού 'σθ' ὁ χρησμολόγος οὔξ Ὠρεοῦ.
τί ποτ' ἄρα λέξει;
ΤΡ. δῆλός ἐσθ' οὗτός γ' ὅτι
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.
ΟΙ. οὔκ, ἀλλὰ κατὰ τὴν κνίσσαν εἰσελήλυθε.

tes est. perperam libri: — φαίνεται· Μάντις —: nec recte Fl. Chr., quem Be. aliique interpp. sequuntur: *quam videtur arrogans! Vatem puto esse.*

985. οὐ — Ἱεροκλέης, *imo hercle est Hierocles.* Lysistr. 54. ΛΥΣ. ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν; ΚΛΑ. οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι: h. e. interprete Fl. Chr.: LYS. *nonne hic adesse feminas oportuit?* CA. *imo volantes convenire jam diu.* sed proprie verba οὐ γὰρ — πάλαι significant *imo non advenire modo, sed advolantes dudum adesse*, siquidem in hujusmodi formulis inest aliquid, quod tacite negatur, ut animadvertit Br. ad Ran. 705. ita etiam h. l. verborum οὐ — Ἱεροκλέης sensus hic est proprius: *imo non modo vates aliquis, sed Hierocles.* S. — οὗτος δὲ μάντις ἦν καὶ χρησμολόγος, τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος. ὡς ἀφυῆ δὲ καὶ οὐκ ἀκριβῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται. καὶ ὅρα, πῶς καθαρῶς. ἐκείνου γὰρ εἰπόντος, ὅτι μάντις πρόεισιν (πρόσεισιν), ὁ ἕτερος οὐ συγκατέθετο, ἀλλ' ἔφησεν οὐ μὰ Δί' ἀλλ' Ἱεροκλῆς ἐστιν, ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον ἢ τῆς τέχνης. καὶ Εὔπολις Πόλεσιν· Ἱεροκλεες βέλτιστε χρησμῳδῶν ἄναξ. ea explicatio formulae οὐ μὰ Δί' ἀλλὰ quam inepta sit, non opus est multis demonstrare. nec vatem ἀφυῆ καὶ οὐκ ἀκριβῆ fuisse Hieroclem, ostendit versus Eupolidis a S. laudatus; sed invisum Nostro aliisque fuit hoc genus hominum propter arrogantiam. Agamemnon Euripideus Iphig. A. 473. τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν. cf. Eurip. Hel. 695. seqq.

986, 7. Invern. ex Rav.: οὗτός γε —, sed recte B. suspicatur hanc scripturam provenisse ex sequente versu, certe οὗτος h. l. otiosum est, αὐτὸς vim addit sententiae. — S.: οὔξ Ὠρεοῦ. (cf. 1065.) διαβάλλει αὐτὸν ὡς οὐ πολίτην, ἀλλ' Εὐβοέα· διὸ δηλοῖ, ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ εἰρήνῃ. Ὠρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος (Il. 2. 537.) Ἱστίαιάν (Thuc. Ἑστίαιαν) φησιν. (vide Xenoph. Hist. gr. 5, 4, 56., Strab. 10, 1. etc.) δῆλός ε. ο. γ' ὅτι. προείπομεν γὰρ (dicit, opinor, annotata ad Nub. 213.) περὶ Εὐβοέων, ὧς ἂν ἧσσον προθυμουμένων τῇ εἰρήνῃ. Sp. ad Nub. 212.: „Euboeam totam, quae ab initio belli Pelop. ab Athen. defecerat, mox a Pericle subactam ita, ut reliquae ejus partes certis conditionibus in deditionem reciperentur; Hestiaeensibus vero sede sua pulsis eorum agrum retinuisse Athenn., docet Thuc. (1, 114. add. 7, 57. B.)" —

989. Dind. κνῖσσαν. Favorinus: κνίσσα. κοινότερον μὲν διὰ δύο σσ γράφεται· Ἡρωδιανὸς δὲ θέλει ἀπὸ μέλλοντος αὐτὴν γενομένην τοῦ κνίζω κνίσω δι' ἑνός τε γράφεσθαι σ, καὶ ἕκτασιν λαβεῖν τοῦ ι. pluribus de hac re dixit Herm. ad Eurip. Alcest. 1161., qui Herodiani sententiam valde commendari ait analogia, qua in simili causa utitur Elmsl. ad Oed. Col. 687., quod Attici non dixerunt κνίττα.

990 ΤΡ. μὴ νῦν ὁρᾷν δοκῶμεν αὐτόν.
ΟΙ. εὖ λέγεις.
ΙΕ. τίς ἡ θυσία ποθ' αὐτηῖ καὶ τῷ θεῶν;
ΤΡ. ὄπτα σὺ σιγῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.
ΙΕ. ὅτῳ δὲ θύετ', οὐ φράσεθ';
ΤΡ. ἡ κέρκος ποιεῖ
καλῶς.
ΟΙ. καλῶς δῆτ', ὦ πότνι' Εἰρήνη φίλη!
995 ΙΕ. ἄγε νυν ἀπάρχου, κᾆτα δὸς τἀπάργματα.
ΤΡ. ὀπτᾷν ἄμεινον πρῶτον.
ΙΕ. ἀλλὰ ταυταγὶ
ἤδη 'στὶν ὀπτά.
ΤΡ. πολλὰ πράττεις, ὅστις εἶ. —
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
ΙΕ. ἡ γλῶττα χωρὶς τέμνεται.
ΤΡ. μεμνήμεθα.

992. ἀπὸ τῆς ὀσφύος. ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα ἐν σιγῇ. λέγει οὖν· ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. (ἄλλως.) οἷον, πρόσεχε μὴ ἅψῃ αὐτῆς. ταύτῃ γὰρ μαντεύονται. εἰς τὸ αὐτό. ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασο, φησίν. S. prima harum interpretationum omnino falsa est; ceterae sententiam quidem loci majore ex parte attingunt, sed ita ut appareat, etiam istos explicatores, quo modo verba ἄπαγε ἀπὸ τῆς ὀσφύος dicta essent, parum intellexisse. sunt enim dicta, nisi fallor, ἐλλειπτικῶς per genus quoddam zeugmatis, intellecto εἰπὲ, ut haec integra sit oratio: ὄπτα σιγῇ, καὶ εἰπὲ „ἄπαγε ἀπὸ τῆς ὀσφύος!" haec increpare jubet servulum, si vates accesserit gustatum ἀπάργματα. scatent ejusmodi ellipsibus scenici poëtae, praesertim Comici, ipsumque illud verbum εἰπεῖν haud raro intelligendum est. vide Soph. El. 345., Valck. ad Herodot. 1, 82., p. 41, 96., Tat. Jacobs. p. 151. et qui de ellipsibus scripserunt.

993. ἡ κέρκος π. καλῶς. ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν ὀσφὺν καὶ τὴν κέρκον ἐπιτιθέναι τῷ πυρὶ, καὶ ἐξ αὐτῆς σημείοις τισὶ κατανοεῖν, εἰ εὐπρόσδεκτος ἡ θυσία, καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν περὶ ὧν τὴν θυσίαν ἐποίουν. S. Br. ex B Paris. ἡ κέρκος π. καλῶς; quod etiam Reiskio placuerat.

995. τἀπ. τὰς ἀπαρχὰς, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. ὁ Ἱεροκλῆς ταῦτα σημαίνει. S.

997. πολλὰ πρ. οἷον, πολλὰ ἐργάζῃ καὶ πολυπραγμονεῖς. S. cf. Ran. 228.

999. ἡ γλ. χ. τέμνεται. καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου· (Odyss. 3, 332.) ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, ὥς φησι Καλλίστρατος. καὶ τοῦτο δὲ Ἱεροκλέους πρὸς τὸ ἔθος. (cf. 1054.) προειρήκαμεν δὲ, ὅτι χρησμολόγος Ἱεροκλῆς· διόπερ νῦν χρησμοῦ τινος αὐτὸν προσάγει μνημονεύοντα. S. de hoc more sacrificiorum Be. conferri jubet Av. 1701., Plut. 1106., ex quo quidem loco intelligitur, linguas victimarum Mercurio sacras fuisse; id quod etiam Athenaeum testari monet Fl. Chr.

1000 ΙΕ. ἀλλ' οἶσθ' ὃ δρᾶσον;
ΟΙ. ἣν φράσῃς.
ΤΡ. μὴ διαλέγου
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
ΙΕ. ὦ μέλεοι θνητοὶ καὶ νήπιοι...
ΤΡ. ἐς κεφαλήν σοι. hex. her.
ΙΕ. οἵτινες, ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες,
συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις...
1005 ΟΙ. αἰβοῖ, βοῖ!
ΤΡ. τί γελᾷς;
ΟΙ. ἥσθην χαροποῖσι πιθήκοις.
ΙΕ. καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,

Deipnos. 1. tom. 1. pag. 60. ed. Schweigh., Suidam, Schol. Apollonii Rhod. 1, 516., qui allegoricam ejus rei rationem affert, et Erasmum in Adagiis v. *lingua seorsum inciditur*.

1000. οἶσθ' ὃ δρᾶσον. vid. Matth. gr. gr. §. 511, 4.

1002. ἐς κεφ. σοι. ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημίσαντός φησιν εἰς τὴν (σὴν) κεφαλὴν ἔλθοι τὸ δεινὸν, τουτέστι σεαυτῷ μάντευσαι ὅπερ εἶπας δυσχερές. — S. cf. Plut. 522.

1003. οὐκ ἀΐοντες. οὐ νοοῦντες. οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τῆς τῶν θεῶν οὐ συνίεντται προνοίας. S.

1004. χαρ. φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰπεῖν λέουσιν. (quorum id est epitheton.) S.

1005. αἰβοῖ, αἰβοῖ. (sic etiam libri Aristoph. praeter A Paris., quem Br. secutus metrum restituit.) παρεπιγραφή. ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γέλωτος γάρ ἐστι τοῦτο τὸ μίμημα. S. variis affectibus significandis servit haec exclamatio: vide 15., 538., Nub. 102., Av. 1055., 1348. etc.

1006. εὔηθες ζῶον ὁ κέπφος, οὐ μέμνηται καὶ Νίκανδρος (Alexiph. 166.) καὶ Ἄρατος (Prognost. 916.), περὶ διοσημείων διαλεγόμενοι, καὶ Καλλίμαχος ἐν τοῖς ἰάμβοις (fragm. 81). ἐκ δὲ τῆς θαλάσσης ζῆν αὐτὸν λέγουσιν. ἐσθίοντα τὸν ἀφρόν. εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκραγέναι ᾠδίνοντα. ὅθεν γενέσθαι τὴν παροιμίαν Κέπφος ᾠδίνει ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων. (κέπφον fulicam (poule d'eau) intelligit Camus ad Arist. H. A. t. 2. p. 333., Schneider. ad eundem Aristot. t. 3. p. 161. procellariam pelagicam. cf. Plut. 908.) τρήρωνες. οὐκ ἐπὶ τοῦ κέπφου, ἀλλὰ καθ' αὐτό. κέπφοι γὰρ οἱ κοῦφοι ἀπὸ (fort. οἱ κουφότατοι) τῶν ὀρνέων· ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ κούφους (imo κέπφους) καλοῦμεν. S. pro adjectivo τῷ κέπφοι additum est τρήρωνες, modo loquendi, de quo dictum ad 520.: nam proprie τρήρων significare videtur columbam, deinde quemvis timidum. germanice dicas *o ihr Taubenhaften Gimpel.* cf. etiam 1018. — „Nescio, unde in recentiores edd. venerit ἀλωπεκίδεσσι. sincera forma est ἀλωπεκιδεῦς (vulpecula), ut πελαργιδεὺς Av. 1356., περιστεριδεὺς ap. Suidam in Χαιριδεῖς. vid. Valck. in annot. ad Theocr. Adon. 121." *Br.* verisimile videtur, haec et alia in seqq. hominis dictis petita esse ex Bacidis oraculis.

ὧν δόλιαι ψυχαὶ, δόλιαι φρένες.
ΤΡ. εἴθε σου εἶναι
ὤφελεν, ὦ 'λαζὼν, οὑτωσὶ θερμὸς ὁ πλεύμων.
ΙΕ. εἰ γὰρ μὴ Νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
μηδὲ Βάκις θνητοὺς, μηδ' αὖ Νύμφαι Βάκιν αὐτὸν...
ΤΡ. ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων.
ΙΕ. οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι,
ἀλλὰ τότε πρῶτον...
ΤΡ. τοῖς ἁλσί γε παστέα ταυτί.
ΙΕ. οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσι,
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ...
ΤΡ. καὶ πῶς, ὦ κατάρατε, λύκος πότ' ἂν οἶν ὑμεναιοῖ;
ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,

1007. ὧν δόλ. ψ. ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσι. καὶ Εὐριπ. (Androm. 441.) Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. S. cf. 601., Ach. 308., Lys. 330.

1008. θερμός. κεκαυμένος. ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα τοῦτό φασι (φησι) πρὸς Ἱεροκλῆν. — S.

1009. Νύμφαι. αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. — S. Nympharum occursu insanientes vaticinari credebantur. Pausan. 4, 27.: Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐστιν Ἑλλήνων καὶ ἐς τὴν Μεσσηνίων κάθοδον προειρημένα etc. cf. Fest. 10. p. 210. ed. Dac. — rursus S.: χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς· ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικὸς, τρίτος Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας (h. e. fortasse κυδὴς, celeber: vid. Schneideri lex. gr. v. κυδέστερος.) ἐκαλεῖτο καὶ Ἀλήτης, ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου. S. Aelianus V. H. 12, 35., monente Fl. Chr.: Βάκιδες τρεῖς, ὁ μὲν Ἐλεώνιος, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς. cf. Plat. Theag. 5., Cic. de Divin. 1, 18., Paus. l. l. et Phoc. 14, ipsumque Nostrum praeterea Equ. 123., 998., Av. 963., quae ejus loca laudavit Be. pro appellativo autem dici coepit nomen Bacidos (cf. 1059.); unde factum est, ut eo nomine carmina quaedam sua inscriberet Göthius (*Weissagungen des Bakis*). — ἐξαπ. αὐξητικὸν est ἐκ, ut passim.

1011. βακίζων. εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος, Βάκιδος μνημονεύων. S.

1013. τοῖς ἁλσί γε. ἐπίτηδες ἀποκεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ, τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὠπτημένα. S.

1015. ὑμεν. εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ, Οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν. S. conferri jubent Horat. Od. 1, 33, 7. (*prius Appulis Jungentur capreae lupis*) et Paroemiographos.

1016. versus hic in solo Rav. libro legitur.

1017. σίλφη τίς ἐστιν ἡ σφονδύ-

χὴ κωδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει.
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
1020 ΤΡ. ἀλλὰ τί χρῆν ἡμᾶς; οὐ παύσασθαι πολεμοῦντας,
ἢ διακαυνιάσαι, πότεροι κλαυσούμεθα μείζω,
ἐξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
ΙΕ. οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν...
ΤΡ. οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ Πρυτανείῳ,
1025 οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.

λη, βδέλλῃ προσομοία, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν, τοὺς χρησμῳδοὺς μιμούμενος κατὰ τῶν χρησμῶν λοξά. S. ὡς, *quoniam*. referenda haec sunt ad praegressam vatis orationem. B.: „Utrum, quod hic memoratur, insectum idem sit cum σφονδύλῃ seu σπονδύλῃ ap. Aristot., dubitatur (vid. Camus ad Aristot. H. A. 2, 780.); nec magis consentiunt, quodnam genus sit, gryllotalpa, an larva scarabaei melolonthae, an blattarum species.“ Be.: — „φεύγουσα dicit, quia vult docere, non esse festinandum.“ *blatta* interpp. lat., Voss. mire: *der Iltis*. — πονηρ., κάκιστα.

1018. χὴ κώδων. παρὰ τὸ κραυγαστικόν. ἢ κύων τὸ ζῶον — παρὰ τὴν παροιμίαν ἢ κύων σπεύδουσα τυφλὰ τίκτει. τὸ δὲ ἀκαλανθὶς εἶδος ὀρνέου. — (ἄλλως.) ἀκαλ. ὄνομα κυνὸς ἐπισήμου. οἱ δὲ ὀρνέου. — S. — Hesych. utrumque exponit, et celerem canem (ταχεῖαν κύνα) et aviculam. vox autem κώδων pro epitheto est (cf. 1006.): nam vel canem intelligit rictantem et ululantem acute instar tubae aut tintinnabuli, vel clamosam avem. — *Fl. Chr.* B. ad Av. 871.: „ἀκαλανθὶς i. q. ἀκανθὶς, (fringilla) carduelis, *Distelfink*. (Stiegliz.)“ de vario cantu fringillarum, inprimis earum, quae cognominantur caelebes (*Buchfinken*), vide scriptores historiae natur. sed vix avi convenire dicas τὸ τυφλὰ τίκτειν. quare ad eorum opinionem propendeo, qui canem intelligunt, etsi ne ejus quidem proprium est edere coecos fetus.

1019. τουτ. τότε, *tum*, cum fecistis pacem. consentaneum est, hominem odisse pacem: vide 1025.

1021. ἢ διακ. ἢ διακληρώσασθαι, πότεροι ἐξ ἡμῶν τέλεον διαφθαρήσονται. καῦνον γὰρ τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις· πόσος ἔσθ' ὁ καῦνος; — καὶ Κρατῖνος Πυτίνῃ· ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. — S. cf. Hesych. v. mendosa διακυκανιάσαι et Zonar. 2, 542., quos laudant Br. et B.

1022. κοινῇ τῆς Ἑλλ. ἐξαρχῆς γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν, οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης. S.

1023. οὔποτε — βαδίζειν. οὔτε τοὺς Λακεδ. δηλονότι ὀρθὰ καὶ ἁπλᾶ φρονεῖν. S. Est fab. Aesop. 205. collect. Furiae. — B.

1025. libri ἐν Πρυτ., quae haud dubie est interpretatio. vide Jacobs. Anthol. Palat. 3. p. 168., nos indice Euripidis v. ἐν et scriptores ellipsium gr. Dind. auctore Dobr. τοῦ λοιποῦ 'ν Πρυτ. S. οὔπ. δειπν. ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν Πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος οὐδὲν ἐλάμβανεν ἐκ δημοσίου οὗτος· ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. S.

1025. ἐπὶ τῷ πρ. ἐπὶ τῷ γενέσθαι τὴν εἰρήνην. S. imo: *praeter ea quae adhuc fecisti* seu *commisisti*, cum demagogos populumque instigasti in arma.

καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
950 ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς, κᾆτα Μελάνθιον
ἥκειν ὕστερον εἰς τὴν ἀγορὰν,
τὰς δὲ πεπράσθαι, τὸν δ' ὀτοτύζειν,
955 εἶτα μονῳδεῖν ἐκ Μηδείας
ὀλόμαν, ὀλόμαν, ἀποχηρωθεὶς
τὰς ἐν τεύτλοισι λοχευομένας!
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν, a. par.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου! i. tr.
960 ΟΙ. λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν.
ΤΡ. ἀλλ' οὐ θέμις.
ΟΙ. τιή; τί δή;

hiberi" etc. S.: Κωπαΐς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλυς (ἐγχέλεις) γίνονται, ὡς καὶ ἐν Ἀχαρνεῦσι (l. l.)· πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν. de palude Copaïde Pausan. 9, 24.: ἐξ Ἀκραιφνίου δὲ ἰόντι εὐθεῖαν ἐπὶ λίμνην τὴν Κηφισίδα (οἱ δὲ Κωπαΐδα ὀνομάζουσι τὴν αὐτὴν) πεδίον καλούμενόν ἐστιν Ἀθαμάντιον· οἰκῆσαι δὲ Ἀθάμαντα ἐν αὐτῷ φασιν. ἐς δὲ τὴν λίμνην ὅ τε ποταμὸς ὁ Κηφισσὸς ἐκδίδωσιν, ἀρχόμενος ἐκ Λιλαίας τῆς Φωκέων, καὶ διαπλεύσαντι ἐς Κώπας κεῖνται αἱ Κῶπαι πόλισμα ἐπὶ τῇ λίμνῃ. τούτου δὲ καὶ Ὅμηρος ἐποιήσατο ἐν καταλόγῳ μνήμην. — οἱ μὲν δὴ ἰχθῦς οἱ ἐν τῇ Κηφισσίδι οὐδέν τι διάφορον ἐς ἄλλους ἰχθῦς τοὺς λιμναίους ἔχουσιν· αἱ δὲ ἐγχέλεις αὐτόθι καὶ μεγέθει μέγισται, καὶ ἐσθίειν εἰσιν ἥδισται. — Κωπῴδων. h. e. ἐγχελέων Κωπ.

950. τυρβ. cum dativo, ut ὠστίζεσθαι in Ach. 844., ubi item de turba in foro obsonantium οὐδ' ὠστιεῖ Κλεωνύμῳ. Be.

951. nomina helluonum, de quibus Be. conferri jubet Av. 168., Acharn. 887., Thesm. 1062., Plato Com. ap. Schol. ad Nub. 109.: ὦ θεῖε Μόρυχε, τὸ νῦν γὰρ εὐδαίμων ἔφυς, Καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας, Οἳ ζῆτε τερπνὸν οὐδὲν ἐνθυμούμενοι. Schol. Rav.: Μορ. Τελέᾳ. καὶ (imo ὡς: vid. annot. ad 942.) τούτους ἀεὶ ἀπεῖναι βούλεται τῶν ὄψων. διὰ τοῦτο αὐτοὺς κολάζει ὡς γαστριμάργους etc.

952. τένθαι sunt, vett. Grammaticis auctoribus, λίχνοι, gulosi, helluones. v. Photii lex. p. 424., Zonar. 2. p. 1717., Timaeus Gl. Plat. p. 252. ibique Ruhnken. B. cf. 1060. et de Melanthio S. ad 766.

954. τὰς δέ. τὰς ἐγχέλεις.

955. ἐκ Μηδ. tragoedia Melanthii.

956. ita Suid. v. μονῳδεῖν, Fl. Chr. in annot., Dind. vulgo ἀποχειρωθεὶς, quod vereor ut sit usitatum.

957. τὰς — λοχ. anguillas Copaïcas. S.: λοχ. καὶ ἐν τοῖς Ἀχαρνεῦσιν (902.) ἔφαμεν, τοὺς μαγείρους μετὰ τεύτλων ἕψειν τὰς ἐγχέλεις. — λοχ. pro λοχωμένας, occultas, absconditas, h. e. betarum foliis involutas. de betis dictum ad Ran. 893.

958. τοὺς δ' ἀ. ἐπ. τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι. S.

ΤΡ. οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
965 χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.
ΧΟ. σὲ δὴ θύρασι χρὴ μένοντα νῦν i. tr. br. ἀλλοιόστ.
σχίζας δευρὶ τιθέναι ταχέως, τά τε πρόσφορ' ἅπαντ' ἐπὶ τούτοις. a. Arist.
ΤΡ. οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι; i. t. c.
ΧΟ. * πῶς δ' οὐχί; τί γάρ σε πέφευγ', ὅσα χρὴ a. d.
970 σοφὸν ἄνδρα; τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν
χρεών ἐστι τὸν σοφῇ δόκιμον φρενὶ as., ant. et gl.
πορίμῳ τε τόλμῃ; i. h.
ΤΡ. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει. i. t. c.

962. ταῦτα πρὸς τὸ ἔθος. φασὶ γὰρ τῇ τῶν Συνοικείων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα. — ἄλλως. πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς. — S.

965. χοὔτω τὸ πρ. διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα (ἀποκερδαίνειν) τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρουμένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σωθήσεται (σώζεται) τῷ ἱερεῖ, ἐπὰν θύσωσιν. S. H. Voss.: „Die fleischlosen Schenkelknochen, mit Nezhaut und Fett umwickelt, (adde: und bei Homer mit Abschnitzeln von allen Gliedern des Opferthiers belegt: vidd. Homer. Il. 1, 461. et J. H. Voss. *Mythol. Briefe* 39. circa finem.) werden verbrannt; das Fleisch (bei Homer das *übrige* Fleisch. Iliad. 1, 465. μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν etc.) verzehren die Opferer. Statt der Schmausenden wird scherzhaft der Chorage genannt, der die Schauspieler zu beköstigen hatte: Ach. 1161. (1168. sequ.)" Imo praeter expectationem τῷ χορηγῷ dixit pro τῷ ἱερεῖ. ceterum recte Vossius.

966. θύρασι. cf. 887.

967. σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος (Il. 1, 462.) · καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων. S.

968. μαντικοῦ (sic) τὸ φρ. οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ ἐπιστήμην τὴν ἑαυτῶν. S.

969. seqq. ταυτολόγα et oppleta interpretationibus. hoc ab Aristophane esse puto:

πῶς δ' οὐχί; τί γάρ σε πέφευγεν; a. par.
τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν χρεὼν i. d.
τὸν σοφῇ δόκιμον φρενὶ gl.
πορίμῳ τε τόλμῃ; i. h.

τί — πέφευγεν; *quid te fugere*, seu *praeterire solet?*

971. δόκιμον, *probatum.*

972. πορίμῳ, εὐπόρῳ, sagaci, solerti.

973. ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις —. ὃν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ ἐν Σικελίᾳ ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν· ὡς αὖ τιν' ἔλθω δῆτά σοι τῶν μάντεων. πότερος ἀμείνων ἀμφοτέρων ἢ Στιλβί-

ΙΕ. οὔ τοι, μὰ τὴν Γῆν, ταῦτα κατέδεσθον μόνω,
ἀλλ' ἁρπάσομαι σφῷν αὐτά· κεῖται δ' ἐν μέσῳ.
ΤΡ. ὦ παῖε, παῖε τὸν Βάκιν!
ΙΕ. μαρτύρομαι.
1060 ΤΡ. κἄγωγ', ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
παῖ' αὐτὸν, ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
ΟΙ. σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κωδίων,
ἃ 'λάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κώδι', ὦ θυηπόλε;
1065 ἤκουσας; ὁ κόραξ οἷος ἦλθ' ἐξ Ὠρεοῦ!
οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον;
ΧΟ. ἥδομαί γ', ἥδομαι, cr. d. στ.
κράνους ἀπηλλαγμένος, τυροῦ τε καὶ κρομμύων· as.,
i. et cr. bis.

1057. μὰ τὴν Γῆν. Cererem intelligere videtur vates famelicus, quae θνητῶν θρέπτειρα προπάντων appellatur ap. Orpheum hymn. 39, 7. vel παρῳδῶν per eam jurat more Trygaei et agricolarum: vide Plut. 64., 551.

1058. ἀλλ' ἁρπ. παρεπιγραφή. ταῦτα γὰρ εἰπὼν χλευάζει καὶ ἀναιδῶς ἁρπάζει· καὶ ἐπιδραμοῦντες κατέλαβον καὶ ἐτύπτησαν. S.

1059. ὦ παῖε, ut infra 1271. ὦ χαίρετε, etc. sic autem Rav., neque id noluit Bentl. alibi ὦ excidit. lepide Dawes. παῖ, παῖε, quod edidit Br., conjectura etiam Bentl. assecutus est. S.: τὸν Βάκιν. τὸν Βάκιδος χρησμοὺς λέγοντα. (imo *Bacidem*, i. e. similem Bacidis. Plautus Asin. 575.: *videlicet Solonem* etc.) τυπτόμενος δὲ λέγει ὁ Ἱεροκλῆς μαρτύρομαι. S.

1060. τένθης. λίχνος. τένθειν γὰρ τὸ ἐσθίειν. S. cf. 952.

1061. ἐπέχων. Eccles. 318. ἐπεῖχε κρούων. Lys. 493. οἱ ἐπέχοντες ταῖς ἀρχαῖς. *Be.*

1062. τουτ. eundem Hieroclem, qui prodierat, monente Br., pellibus aliquot involutus, quas e sacris, quibus eodem praefuisse fingitur, abstulerat, ex more. vide Thesm. 758., Plut. 1170.

1063. ἐκβολβιῶ. ἐξορύξω. ἀπὸ τῶν τοὺς βολβοὺς χαμόθεν ἐκβαλλόντων ἢ μεταφορά. — S. — Dixit ergo *ebulbitare* pro *effodere*. *Fl. Chr.* rectius Schneider. in lex. gr. h. v., quem secutus Voss. haec ita reddidit: *ich will der Schaffell unterdess, Die dieser mitnahm durch Betrug*, aushülsen *ihn*. poterat etiam dicere *auszwiebeln*.

1065. ἤκουσας; *audin'?* At neque audit ille, neque manus abstinet; quod miratus puer exclamat ὁ κόραξ etc. S.: κόρακα εἶπεν, ἐπειδὴ ἥρπαζεν. de Oreo vide 986.

1066. Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον· Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας· νυμφικὸν δέ τινες αὐτό φασιν, ὅτι Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφ.· πρὸς πέτραις Ἐλυμνίαις. καὶ ἐν Ναυπλίῳ· νυμφικὸν Ἐλύμνιον. S. cf. Hesych. et Steph. Byz. h. v.

1068. τυρ. τε καὶ κρ. qui est cibus militaris. intelligit per haec bellum. *Be.* gaudet Chorus se bello defunctum esse, jamque sibi bene fore cum amicis potanti et amanti. — de κρομμύῳ vide Ran. 615.

ου γὰρ φιληδῶ μάχαις, as. i. et cr.
1070 ἀλλὰ πρὸς πῦρ διέλκων μετ' ἀνδρῶν ἑταίρων φίλων, cr. pent.
5 ἐκκέας τῶν ξύλων ἅττ' ἂν ᾖ δανότατα, τοῦ θέρους
* ἐκπεπιεσμένα,
κἀνθρακίζων τοῦ 'ρεβίνθου, τήν τε φηγὸν ἐμπυρεύων, t. t.
χἅμα τὴν Θρᾶτταν κυνῶν, τῆς γυναικὸς λουμένης. as., t. d. c. bis.
1075 οὐ γὰρ ἔσθ' ἥδιον ἢ τυχεῖν μὲν ἤδη 'σπαρμένα, t. t. c. ἐπίῤῥ.
τὸν θεὸν δ' ἐπιψεκάζειν, καί τιν' εἰπεῖν γείτονα·
„Εἰπέ μοι, τί τηνικαῦτα δρῶμεν, ὦ Κωμαρχίδη;
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει, τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφανε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας,
1080 τῶν τε πυρῶν μίξον αὐτοῖς; τῶν τε σύκων ἕξελε,
τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω 'κ τοῦ χωρίου·

1069. φιλ., *delector*. vid., quem B. laudat, Toup. Emend. in Suid. 2. p. 343.

1070. διέλκων, *perpotans*. vid. Toup. ibidem. Equ. 107., monente Be.: ἕλκ', ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου etc.

1071. Hesych. secundum Be.: ἐκκέας, ἐκκαύσας. (vid. Matth. gr. gr. §. 239.) sic Rav. Inv. Dind. vulgo οὐκ ἐᾷς, A Paris. οὐκ ἐάσω. Br. συγκέας. — τοῦ θέρους, aestate.

1072. creticum dim. esse convenit hunc versum, qualis est ἀντίστροφος. atqui brevis est πι syllaba in πιέζειν, quam longam poscit creticus, neque placet in eo genere metri itidem brevis syllaba postrema verbi ἐκπεπιεσμένα. sic autem codd. praeter Rav., in quo legitur ἐκπεπρισμένα, h. e., ni fallor, ἐκπεπρεμνισμένων, *excisorum*.

1073. ἀνθρακίζων. φρύγων τὸν ἐρέβινθον καὶ ξηρὸν ποιῶν. ταῦτα γὰρ ἐσθιόμενα προτρέπεται εἰς ποτόν. S. ἐρέβινθος est *cicer arietinum* Linn., *die gemeine Kicher, Kichererbse, Ziseererbse*. vid. Billerbeckii Flor. class. p. 190. S.: φηγὸς εἶδος φυτοῦ, ὃ τὰς ἀγρίας βαλάνους φασὶν ἔχειν. — *quercus esculus, die Speiseeiche*, dicta a φαγεῖν „wegen ihrer Frucht, die wie Kastanien schmeckt," ut ait Billerbeck, l. l. p. 231. Fl. Chr. antiquam rusticorum εὐτέλειαν hisce significari monet, cicere et glande esculea victitantium. glandem autem h. l. sonat vox φηγόν.

1074. Θρᾶτταν, ancillam Thraciam, cujus gentis plurimi serviebant ap. Graecos. cf. Ach. 272., Ran. 569.

1077. Κωμ. nomen agricolae.

1078. τοῦ θεοῦ ὄντος ἀρέσκει μοι τὸ σχολάζειν τῷ ποτῷ. S.

1079. ἄφενε Suid. h. v., MS. etiam v. φασήλων, probante Porsono ad Toup. p. 480., ut monuit Dobr. id in ordinem recepit Dind. — φάσηλος germ. vocatur *Schwertbohne*, sive *Säbelbohne*. vid. Billerbeck, Flor. class. p. 184. Virg. Georg. 1, 227. *viciamque seres vilemque faselum*, i. e. bene provenientem, neque caram.

1079. χοίνικας. vide Plut. 276.

1081. Μάνης seu Μανῆς servo-

οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον,
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον·
κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω·
1085 ἦν δὲ καὶ πυός τις ἔνδον, καὶ λαγῶα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἄττα, κἀκυδοιδόπα.
ὧν ἔνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυῤῥίνας τ' αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
1090 χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν, t. d.
εὖ ποιοῦντος κὠφελοῦντος τοῦ θεοῦ τἀρώματα.
ΗΜ. ἡνίκ' ἂν δ' ἀχέτας ἀντ.
ᾄδῃ τὸν ἡδὺν νόμον, διασκοπῶν ἥδομαι

rum nomen est, de quo ad Ran. 916., Σύρα servarum, etiam ap. Plaut. et Terentium. βωστρεῖν est *alta voce advocare.*

1082, 3. οἶν. τὸ ἀποφυλλίζειν. οἴναρα γὰρ τὰ φύλλα τῆς ἀμπέλου. — τηντλάζειν. πηλοπατεῖν. τύντλος γὰρ ὁ πηλός. ἀντὶ τοῦ βωλοκοπεῖν. παρδακὸν δὲ δίυγρον. οὕτω γὰρ Ἀρχίλοχος καὶ Σιμωνίδης. S. Strabo 13, 2. extremo: τὰς δὲ δυσφημίας τῶν ὀνομάτων φυγόντες τινὲς ἐνταῦθα μὲν Πορδοσελήνην (non Πορδοσελήνην) δεῖν λέγειν φασί, τὸ δ' Ἀσπόρδηνον ὄρος τὸ περὶ Πέργαμον, τραχὺ καὶ λυπρὸν ὄν, Ἀσπόρηνον, καὶ τὸ ἱερὸν τὸ ἐνταῦθα τῆς μητρὸς τῶν θεῶν Ἀσπορηνῆς. τί οὖν φήσομεν τὴν πόρδαλιν, καὶ τὸν σαπέρδην, καὶ τὸν Περδίκκαν, καὶ τὸ Σιμωνίδου· σὺν πορδάκοισιν ἐκπεσόντες ἱμᾶσιν, ἀντὶ τοῦ διαβρόχοις; καὶ ἐν τῇ ἀρχαίᾳ που κωμῳδίᾳ· πόρδακον τὸ χωρίον, τὸ λιμνάζον. monuit de h. l. Palmerius Exerc. ad gr. auct. p. 341.

1084. τὼ σπίνω. σπίνος εἶδος στρουθοῦ. S. *fringilla* esse dicitur. Aristoteli est σπίζα, ad quem vid. est Camus 2. p. 648. seqq. *B. ad Αν.* 1079. cf. Schneider. in lex. gr. v. σπίνα.

1085. πυός. τὸ πρῶτον γάλα, ὃ καὶ ἑψόμενον πήγνυται, καὶ ἡμεῖς χυτρίκην λέγομεν. — S. Voss.: *auch war etwas* Biest *im Haus* etc.

1087. — est κυδοιδοπᾷν *turbare* et *omnia miscere.* ταράττειν et κυκᾶν interpretantur Hesych. et Suid. — In Nubb. (616.) dixit ἄνω κάτω κυδοιδοπᾷς. *Fl. Chr.*

1089. μυῤῥίνας. nam pueri in conviviis sumto laureo aut myrteo ramo cantabant. auctor Suidas. *Idem.* cf. 1193. seqq. ejusmodi ramorum laetior adspectus est, cum habent baccas. S.: Αἰσχ. ὡς τοῦ Αἰσχινάδου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους (*mit Beeren dran.* Voss.) ἢ ἀπὸ (fort. ἤγουν ὑπὸ, h. e. μετὰ) τῶν καρπῶν. (Χαρινάδην.) ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλου. (hoc recte.) βωσάτω δὲ βοησάτω. S. vid. Schneideri lex. gr. v. βῶ.

1092. τἀρ. τὰ ἀροτριώματα, παρὰ τὸ ἀροτριοῦν. — S.

1093. ἀχέτας. ὁ τέττιξ, παρὰ τὸ Ἡσιόδειον (Op. et D. 582.)· ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ (Δενδρέῳ ἐφεζόμενος λιγυρὴν κατα-χεύετ' ἀοιδὴν etc.). τοὺς ἄῤῥενας δὲ ᾄδοντας τῶν τεττίγων. οὕτως Ἀρίσταρχος. S. Putes scribendum esse οὕτως Ἀριστοτέλης, ejusque nominis compendium librarios fefellisse. certe id tradit Aristot. H. A. 5, 30.

1095 τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤδη· τὸ γὰρ φῖτυ πρῶον φύσει·
5 τόν τε φήληχ' ὁρῶν οἰδάνοντ'· εἶθ' ὁπόταν ᾖ πέπων,
ἐσθίω, κἀπέχω, cr. d.
χἄμα φήμ' Ὧραι φίλαι! καὶ τοῦ θύμου τρίβων
κυκῶμαι·
1100 κἄτα γίγνομαι παχὺς τηνικαῦτα τοὺς θέρους
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων,
ἀντεπιῤῥ.
τρεῖς λόφους ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·
ἣν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδα,
1105 τηνικαῦτ' αὐτὸς βέβαπται βάμμα Κυζικηνικόν·

1095. τὰς Λ. ἀμπ. minus has quidem celebres, sed tamen probatas propterea quod earum uvae cito maturescebant, ut ait Chorus.

1096. φύσει Rav. et Suid., quod et metro convenit, et aptum est sententiae. ἄμετρον est φύει, quod alibi legitur.

1097. φήληκα. τὸν ὄλυνθον. (grossum, fructum caprifici seu ficus silvestris.) πυρίως μὲν οὖν ὁ ἤδη σκληρὸς καὶ πάρωρος, ὁ ὄψιν μὲν πεπάνσεως ἔχων, ἄωρος δὲ ὤν. καὶ μήποτε φήληξ τίς ἐστιν ὁ ἀπατεὼν καὶ ψευδόμενος τὴν ὄψιν εἰς βρῶσιν. (Voss.: Wie der Traub' Herling schwillt, seh' ich froh.) καὶ φῆλος ὁ ἀπατεών. Μένανδρος Ἁλιεῖ· δύ' οἰκίας φηλῶν γερόντων. καὶ φηλώματα, ἐξαπάτας, παρ' Ἀντιφῶντι. S. — οἰδάνοντ' scribendum esse monuit Porson. ad Eurip. Phoen. 1398. vidit etiam Bentl. libri corrupto metro ὀιδαίνοντ'.

1098. κἀπέχω. τῷ στόματι προσάγω. καὶ Ὅμηρος (Il. 9, 485.)· ὄψου ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχών. S.

1099. κυκῶμαι. κυκεῶνας ἐσθίω. ἄνω (687.) τῷ πότῳ τῷ ἐπὶ τῆς γλήχωνός φησι χρῆσθαι πρὸς τὴν ὀπώραν, νῦν δὲ τῷ θύμῳ χρῶνται. μετὰ δὲ τὸ τὴν ὀπώραν φαγεῖν κυκεῶνα πίνουσι, καὶ οὐ βλάπτονται, ἀλλὰ καὶ παχεῖς γίνονται. S.

1100. γίνομαι παχύς. ἐπειδὴ ἀργοῦσιν οἱ γεωργοὶ τότε τοῦ ἀμητοῦ, ὡς Ἡσίοδός φησι (Op. et D. 608.)· δμῶας ἀναψύξαι φίλα γούνατα. S.

1102. φοινικὶς hic ut in Lys. 1140. militare sagum seu chlamydem significat, quae plerumque apud alias gentes, ap. Lacedaemonios semper, punicea erat. ὀξεῖαν ad colorem refertur, vividumque saturum et intentiorem notat. v. Salmas. ad Script. Hist. Aug. p. 398. *Ex. Br.*

1103. βάμμα Σαρδ. Sardoae tincturae magna fuit commendatio: nam eximiae illic purpurae. Ach. 112. ἵνα μή σε βάψω βάμμα Σαρδιανικὸν, h. e. μή σε πληγέντα φοινίξω etc. *Ex Fl. Chr.* igitur rubra erat illa purpura Sardiana; Cyzicenorum luteam fuisse, ex hoc loco intelligitur. Salmas. ad Solin. 53. (817, h c): *Erat* [pro diversis littoribus] *atra purpura, erat livida, violacea, caerulea, rubra, lutea.* cf. Heerenii, viri clarissimi, librum germ. de πολιτείᾳ et commercio veterum (*Ideen über Politik u. Handel der alten Welt*) vol. 2. pp. 598. seqq. 1. edit.

κᾆτὰ φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν,
τοὺς λόφους σείων· ἐγὼ δ' ἕστηκα λινοπτώμενος.
ἡνίκ' ἂν δ' οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετὰ,
τοὺς μὲν ἐγγράφοντες ἡμῶν, τοὺς δ' ἄνω τε καὶ κάτω
ἐξαλείφοντες δὶς ἢ τρίς. Αὔριόν γ' ἔσθ' ἡ ἔξοδος·
τῷ δὲ σιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιὼν,
εἶτα, προστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδίονος,
εἶδεν αὐτὸν, κἀπορῶν θεῖ τῷ κακῷ βλέπων ὀπόν.

1106. ὥσπερ ξ. ἱππ. ὡς φοινικὰ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ κληθέντος ἱππαλεκτρυόνος ἐν Μυρμιδόσι μέμνηται. S. cf. Ran. 883.

1107. ἐγὼ δ' ἔστ. λιν. ἐγὼ δ' ἔστ. ἐν τῷ αὐτῷ τόπῳ παρατηρῶν καὶ περιβλεπόμενος, ὅπου (ὅποι) ἀπαχθῶ. λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. — S. sane τροπικῶς hoc dictum est: *ego autem adsto servans* sive *expectans*, quorsum evadat.

1108. γεν. οἱ ταξίαρχοι.

1109. ὅτι τοὺς μὲν ἐξήλειφον, τοὺς δὲ ἐνέγραφον εἰς τὸν κατάλογον τῶν πολεμίων (πολιτῶν). S. *Scriptus miles et dilectus* Livio 7. (41, 4.) — Delere autem militem ex catalogo armatorum officium erat taxiarchi, quem facio tribunum militum, nam deni ταξίαρχοι ex tribubus singulis fuerunt. *Fl. Chr.* Equ. 1366. ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ Οὐδεὶς κατὰ σπουδὰς μεταγραφήσεται, Ἀλλ', ὥσπερ ἦν τὸ πρῶτον, ἐγγεγράψεται. — ἄνω, κάτω, *susque deque*, *temere*. cf. Equ. 876. *Be.* Casaub. ad Equ. 1366.: In historiis Athenn. passim fit mentio hujus catalogi, in quo descripti erant, quicunque nomen militiae dedissent, (vid. Phot. lex. p. 104,) et κατάλογον sic dixerunt, ut Latini illud album sive laterculum appellarunt *numeros*. ibi erat descriptus quisque, prout militabat. militiae autem multi sunt gradus, alii honestiores, alii minus: unde locus fraudi, quam hic Arist. tangit, cum exempli causa, qui erat centurio adscriptus, postea studio alicujus improbi inter praefectos manipulorum rescriptus fuerat, aut contra.

1110. verba taxiarchi profectionem subito edicentis civibus, qui ne scirent quidem, se in catalogo descriptos esse; unde fieri significat, ut multis sine viatico sit proficiscendum.

1111. ᾔδειν. Ἀττικῶς ἀντὶ τοῦ ᾔδει, ὡς τὸ ὁ δὲ θεὸς ὑμῖν οὐ προσήειν. (Plut. 691.) S.

1112. πρ. τὸν ἀ. τοῦ Πανδ. εἷς ἐστι τῶν ιβ' ἀνδριάντων, ἐν οἷς ἐγράφοντο οἱ στρατιωτικοὶ κατάλογοι καὶ τὰ κηρύγματα. εἶδεν οὖν, φησὶ, (intell. τὶς, aliquis civium,) τὸ ἑαυτοῦ ὄνομα γεγραμμένον τῷ ἀνδριάντι τοῦ Πανδ. S. igitur civis ille ex Pandionide tribu fuisse fingitur, ut Aristoph., qui fortasse hoc modo ipse aliquando vexatus fuerat a malevolo taxiarcho.

1113. τῷ κακῷ, *propter hoc malum*, quod nomen suum vidit in catalogo. — ὀπόν. δριμεῖαν καὶ πικρότητα. ὀπὸς δὲ τὸ τῶν δένδρων δάκρυον, καὶ τὸ ἀποστάλαγμα τοῦ γάλακτος. S. βλέπειν ὀπὸν, tueri humorem, h. e. lacrimas, simili modo dictum est atque alibi βλέπειν νάπυ, βλέπειν κάρδαμα, et nihil aliud significat quam vultu tristitiam prodere etiam lacrimis profusi.

ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ' ἐξ ἄστεος
ἥττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες·
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.
πολλὰ γὰρ δή μ' ἠδίκησαν,
ὄντες οἶκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες.

1114. τοὺς — ἥττον. urbanos minus laedi ait ab istis tribunis, quippe cautiores et eorum malitiae probe gnaros.

1115. ῥιψάσπιδας a parte dicere videtur, cum intelligat proditores jurisque deorum atque hominum contemtores.

1116. εὐθ. δώσ. *poenas dabunt.* „εὐθῦναι inprimis dicuntur multae solvendae ab iis, qui male magistratu functi sunt. v. Vocc. jur. ap. Becker. Anecd. 1, 187., Phot. lex. p. 30." B.

1118. παροιμία παρὰ τοὺς ἐν Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας, οἶκοι λέοντες, ἐν Ἐφέσῳ δὲ Λάκωνες. (imo ἐν Ἐφ. δ' ἀλώπεκες, ut scribi jussit Fl. Chr.) S. cf. laudatos ab interpretibus Be. ad Alciphr. 2. ep. 1. p. 275. ed. Wagner., Aelianum V. H. 13, 9., Plutarchum Sylla.

ΤΡΥΓΑΙΟΣ. ΔΡΕΠΑΝΟΥΡΓΟΣ. ΛΟΦΟΠΟΙΟΣ. ΘΩΡΑΚΟΠΩΛΗΣ. ΣΑΛΠΙΓΚΤΗΣ. ΚΡΑΝΟΠΟΙΟΣ. ΔΟΡΥΞΟΟΣ. ΠΑΙΣ ΛΑΜΑΧΟΥ. ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ. ΧΟΡΟΣ.

ΤΡ. Ἰοὺ, ἰοὺ, i.

1120 ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους! i. tr.
ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηΐ·
πάντως γὰρ οὐδὲν ὄφελος ἔστ' αὐτῆς ἔτι.
ἔπειτ' ἐπείσφερε τὰς ἀμύλους καὶ τὰς κίχλας,
καὶ τῶν λαγώων πολλὰ, καὶ τοὺς κολλάβους.

1125 ΔΡ. ποῦ, ποῦ Τρυγαῖός ἐστιν;

ΤΡ. ἀναβράττω κίχλας.

ΔΡ. ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου·
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·

1130 ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.

1119. Dicit haec Tryg., dum videt magnam hominum multitudinem confluere, velut ad epulas nuptiales. B.

1120. τὸ χρῆμ' ἀνθρώπων. Nub. 1., monente Be.: ἰοὺ, ἰοὺ, τὸ χρῆμα τῶν νυκτῶν ὅδον! cf. Plut. 890.

1121. περικεφαλαίαν δίδωσιν, ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. — S.

1123. τὰς ἀμ. ἄμυλοι πλακοῦντές τινες. — S. conferre jubemur Athenaeum l. 14. t. 5. pag. 353. et 357. ed. Schweigh. et Matronis carmen ap. eundem l. 4. t. 3. p. 29.

1124. κολλάβους. εἶδος ἄρτων. εἰσὶ δὲ μικροὶ ἀρτίσκοι, ἐκ τῶν μεγάλων κεκολλαβισμένοι etc. S. cf. Ran. 472.

1126. τἀγαθά. h. e. τοὶ ἀγαθά: neque enim dicitur ὅσα τὰ ἀγαθὰ, sed ὅσα ἀγαθά.

1128. κολλ. εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ οὐδὲ ὀβολοῦ. S.

1130. τοὺς κ. εἰς τοὺς ἀγρ. πιπράσκει δηλονότι. καδοκοιὸς δὲ ἦν ὁ σὺν αὐτῷ. S. ἐμπολῷ intelligendum ex superioribus.

ἀλλ', ὦ Τρυγαῖε, τῶν ὀρεπάνων τε λάμβανε
καὶ τῶνδ' ὅ τι βούλει προΐκα· καὶ ταυτὶ δέχου·
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδαίνομεν,
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.
1135 ΤΡ. ἴθι νυν καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.
ΛΟ. οἴμ', ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας!
ΤΡ. τί δ' ἐστίν, ὦ κακόδαιμον; οὔ τί που λοφᾷς;
1140 ΛΟ. ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
καὶ τουτουῖ, καὶ τοῦ δορυξοῦ κεινουῖ.
ΤΡ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;
ΛΟ. αὐτὸς σὺ τί δίδως;
ΤΡ. ὅ τι δίδωμ'; αἰσχύνομαι·
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
1145 δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας,
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτωῖ.
ΛΟ. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας.
κρεῖττον γάρ, ὦ 'τᾶν, ἔστιν ἢ μηδὲν λαβεῖν.
ΤΡ. ἀπόφερ', ἀπόφερ' ἐς Κόρακας ἐκ τῆς οἰκίας!
1150 τριχορρυεῖτον, οὐδέν ἐστον, τὼ λόφω.
οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς.
ΘΩ. τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει

1138. προθ. ὅ ἐστιν ἄρδην ἀπώλεσάς με τὴν εἰρήνην προξενήσας. φαίνεται δὲ καὶ οὗτος καὶ ἄλλοι πολλοὶ τὸ προθέλυμνον ἀντὶ τοῦ πρόρριζον ἀκούειν. καὶ παρ' Ὁμήρῳ (Il. 9, 541.) πολλὰ δ' ὅγε προθέλυμνα (χαμαὶ βάλε δένδρεα μακρά). Ἀρίσταρχος δὲ τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ δηλοῦσθαί φησι· φράξαντες δόρυ δουρὶ, [καὶ] σάκος σάκεϊ προθελύμνῳ (Il. 13, 130.). καὶ σάκος θέτο τετραθέλυμνον (Odyss. 22, 119.), τουτέστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον τρύχας. (?) — S. cf. Schneideri lex. gr. h. v.

1139. λοφᾷς. λόφους πολλοὺς ἔχεις ἐν πράσει. ὄνομα δὲ πεποίηκε νοσήματος, ὡς λέγομέν τινα ὑδεριᾷν, σπληνιᾷν, χαλαζᾷν. (λιθιᾷν addidit Be.) σημαίνει δὲ τὸ πλῆθος ἔχειν λόφων. S.

1142. καταθῶ, *ponam, solvam.*

1143. αἰσχ. ἐλάχιστον γάρ ἐστιν ὃ μέλλω δοῦναι τίμημα. S.

1144. τὸ σφήκωμα. τόπος τῆς περικεφαλαίας, ὅπου τὰ πτερὰ δέδεται. — S.

1150. τριχ. οἷον, οὐκ ἐπιμελῶς συνδεδεμένοι εἰσίν. ὑπὸ τοῦ χρόνου γὰρ ἐσάπησαν, καὶ αἱ τρίχες τῶν ἵππων αἱ ἐν τοῖς λόφοις ῥέουσιν. S.

1152. θώρακος κύτει. περιφραστικῶς εἶπεν ἀντὶ τοῦ θώρακα. — S. sic ἀνδρεῖον κύτος dixit Soph. Trach. 12., τρίποδος, λέβητος Eur. Suppl. 1155., Cycl. 398. etc. vid. annot. ad. Soph. l. l.

ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;
ΤΡ. οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν,
1155 ἀλλ' αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας·
ἐναποπατεῖν γάρ ἐστ' ἐπιτήδειος πάνυ...
ΘΩ. παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασι.
ΤΡ. ὡδὶ, παραθέντι τρεῖς λίθους. οὐ δεξιῶς;
ΘΩ. ποίᾳ δ' ἀποψήσει ποτ', ὦ 'μαθέστατε;
1160 ΤΡ. τῃδὶ, διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμίας,
καὶ τῇδ'.
ΘΩ. ἅμ' ἀμφοῖν δῆτ';
ΤΡ. ἔγωγε νὴ Δία,
ἵνα μή γ' ἁλῶ τρύπημα κλέπτων τῆς νεώς.
ΘΩ. ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;
ΤΡ. ἔγωγε, νὴ Δί', ὦ 'πίτριπτ'· οἶει γὰρ ἂν
1165 τὸν πρωκτὸν ἀποδόσθαι με χιλίων δραχμῶν;

1153. ἐν. συντεθειμένῳ, ἐῤῥαμμένῳ. — S. ἐν. ab ἐνάπτομαι, *induo*. videtur autem loricae superinductum, aut intus subductum fuisse corium.

1155. αἶρε, *affer*. S.: τῆς ἰσ. τῆς ἴσης τιμῆς. — S. Phot. p. 89. ἰσωνία· ἰσοτιμία. Vertitur: *da mihi eam* (loricam) *eodem pretio, quo tibi constitit*. — B.

1156. ἐναπ. — πάνυ. δηλονότι οὐκ ἔστιν ἁλυσιδωτὸς, ἀλλ' ὁ λεγόμενος στατός. εἰκάζει γὰρ αὐτὸν λασάνῳ ὀρθῶς σταθέντι. S. vide Köpkii librum *Ueber das Kriegswesen der Gr.* pp. 95, seqq.

1157. χρήματα sunt opes ejus; ea, quae possidet. vulgo vertitur *merces*. B.

1158. τρεῖς λίθους. καὶ γὰρ παροιμία τρεῖς εἰσιν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι. τινὲς δὲ προστιθέασι καὶ τοῦτο ὥς φασιν, ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι, τέτταρες. — S. cf. Pl. 813.

1159. ποίᾳ δ' ἀπ. ποίου μέρους (a qua parte loricae) τὸν πρωκτὸν ἀπομάξασθαι δυνήσῃ; S.

1160. διὰ τῆς θαλ. διὰ τῆς ἐκβολῆς τῆς χειρὸς τῆς ἐν τῷ θώρακι (per aperturam loricae ad inserendas manus) τὴν αὐτοῦ χεῖρα καθῆκε. θαλαμιὰ δὲ εἴρηται διὰ τὸ ἐοικέναι νεὼς τρυπήματι· κυρίως γὰρ ἡ κάτω τῆς νεὼς τρώγλη θαλαμία (intell. ὀπὴ, foramen,) λέγεται. S. cf. annot. ad Ran. 1013.

1161. ἅμ' ἀμφ. *utraque manu* (facies)?

1162. ἵνα μή γ' ἁλῶ. τοῦτό φησιν εἰς τοὺς τριηράρχους, ὅτι ἀπέφραττόν τινα τρύπηματα, ἵνα τὸν μισθὸν τὸν ναυτῶν κερδαίνοιεν, ἐκ δὲ τῆς ὕψεως τῶν τρυπημάτων μὴ ἐλέγχωνται. γελοίως οὖν ἀμφοτέραις ταῖς χερσὶ φησιν ἀποψῆσαι τὸν πρωκτὸν, ἵνα μὴ ὡς τριήραρχοι κρύπτων τρῆμα τῆς νεὼς ἁλῶ. ἠναγκάζοντο γὰρ οἱ ναύκληροι τοσούτους ναύτας μισθοῦσθαι, ὅσα εἶχε τρυπήματα τριήρης. ἔπειτα οἱ τριήραρχοι λαμβάνοντες τὸν μισθὸν τοῦ πληρώματος ἀπέφρασσον τὰ τρυπήματα τῶν ἐρετμῶν, ἵνα μὴ ἐλέγχωνται κλέπτοντες ἐρέτας ἐκ τοῦ τὰς θαλαμίας εἶναι κενάς. — S.

1163. ἐπὶ δεκάμνῳ, *in vase, quod decem minis venditur*. respondet Trygaeus, se non minoris venditurum esse podicem suum. valent autem 10 minae 1000 drachmas, ut notum est.

1164. ἐπίτριπτε. cf. Plut. 275.

ΘΩ. ἴθι δὴ ξένεγκε τἀργύριον.
ΤΡ. ἀλλ', ὦ 'γαθὲ,
θλίβει τὸν ὄρρον· ἀπόφερ', οὐκ ὠνήσομαι.
ΣΑ. τί δ' ἔγωγ' ἄρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
ἢν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;
1170 ΤΡ. μόλυβδον ἐς τουτὶ τὸ κοῖλον ἐγχέας,
ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
341 γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.
ΣΑ. οἴμοι, καταγελᾷς.
ΤΡ. ἀλλ' ἕτερον παραινέσω.
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον·
1175 ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.
ΚΡ. ὦ δυσκάθαρτε δαῖμον, ὥς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μυᾶν ποτε,
1180 καὶ νῦν τί δράσω; τίς γὰρ αὖτ' ὠνήσεται;
ΤΡ. πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·

1167. μιμεῖται τοὺς ἐπ' ἀληθείᾳ ἐνδυομένους τοὺς θώρακας, καὶ διὰ τὸ μὴ ὠνεῖσθαι θλίβειν λέγοντας τὸν τράχηλον ἢ τοὺς ὤμους. τοιαῦτα δέ φασι βουλόμενοι διακόψαι τὸ τίμημα. ὄρρος δέ ἐστιν ὁ ὑποκείμενος τοῖς σφαιρώμασι τόπος. δῆλον ὅτι, λαβὼν τὸν θώρακα, ἐπεκάθισεν αὐτῷ ὡς ἐν λασάνῳ, ἵνα μᾶλλον κινήσῃ γέλωτα. S.

1170. ἀντὶ τοῦ μολίβδῳ τὸν κώδωνα τῆς σάλπιγγος πληρώσας. τὸν κώδωνα δὲ τῆς σάλπ. συμβουλεύει αὐτῷ πωμάσαι μολίβδῳ, καὶ ἐν μέσῳ ἐνεῖναι ῥάβδον, ἵνα γένηται κατακτὸς ὁ κότταβος. ξύλον γὰρ αἰωρήσαντες ἐκ τοῦ μέσου, καθάπερ πλάστιγγα, ἐξ ἑκατέρων μερῶν ἐξῆπτον ἐλλύχνια καὶ κυμβεῖα κοῖλα, καί τι ἀγγεῖον ἐτίθεσαν ὕδατος πλῆρες. εἶτα καθάπερ ἐπὶ τρυτάνης τὸ ἕτερον βαρύνοντες μέρος προΐζειν ἐποίουν, ὥστε πληροῦσθαι τὰ ἐλλύχνια. (?) εἶτα τὸ ἕτερον πάλιν βαρύνοντες μέρος ἀνάγκην ἐποίουν ἀνεγειρομένῳ καὶ ἀναπηδῶντι τῷ πεπληρωμένῳ ἐκ τῶν ἐλλυχνίων ἀναπέμπειν τὸ ὕδωρ. ὑπέκειτο δὲ τὰ κυμβεῖα τοῖς ἐλλυχνίοις, ὥστε εἰς ταῦτα πάλιν ἐμπίπτειν τὸ ὕδωρ· καὶ ὃς τῶν πλειόνων ἐπιψαύσῃ κυμβείων, ἐδόκει νικᾶν. κατακτοὶ δὲ ἐκλήθησαν ἀπὸ τοῦ κατάγειν καὶ αὖ πάλιν ἀνάγειν τὸν κότταβον. — S. hanc descriptionem cottabi κατακτοῦ valde obscuram esse queritur Jacobsius, vir illustris, l. l. ad 341. pag. 492., pauloque magis perspicua censet haec, quae insunt in annotatis ad 1172.: ἐλέγοντο δέ τινες κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον (ἀναγόμενον) πάλιν τε συμπῖπτον, ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον, ἐφ' ᾧ τὴν κυβαλλομένην ἐπιπεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην, πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. cf. Groddeck. l. l. ad 341. pp. 214. seqq.

1176. καὐτό. καὶ αὐτό, h. καὶ κατ' αὐτό, et *per hoc*, sive *hoc modo*. — γεν. *licebit*.

1178. ὦ δυσκ. δαῖμον, *o implacate daemon*. Be. Fortunam adversam intelligit.

ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.
ΔΟ. οἴμ', ὦ κρανοποί', ὡς ἀθλίως πεπράγαμεν!
ΤΡ. οὗτος μὲν οὐ πέπονθεν οὐδέν.
ΚΡ. ἀλλὰ τί
1185 ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;
ΤΡ. ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὖτ' ἀποδώσεται πολύ.
ΚΡ. ἀπίωμεν, ὦ δορυξέ.
ΤΡ. μηδαμῶς γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.
1190 ΔΟ. πόσον δίδως δῆτ';
ΤΡ. εἰ διαπρισθεῖεν δίχα,
λάβοιμ' ἂν αὖτ' ἐς χάρακας, ἑκατὸν τῆς δραχμῆς
ΔΟ. ὑβριζόμεθα. χωρῶμεν, ὦ 'τᾶν, ἐκποδών.
ΤΡ. νὴ τὸν Δί', ὡς τὰ παιδία γ' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
1195 ἅττ' ᾄσεται προαναβάληταί μοι δοκεῖ.
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.
Π. Α. Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα...
ΤΡ. παῦσαι hex. her.

1182. συρμ. μετρεῖν. — φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάῤῥοιαν, ὡς Δίδυμος. (vulgo: — διάῤῥοιαν. ὡς Δίδυμος, ἁλμαία etc.) (ἄλλως.) ἁλμαία (?) ἐκ ῥαφανίδων Αἰγυπτιακὴ πρὸς κάθαρσιν ἐπιτήδειος. S. cf. Schneideri lex. gr. v. συρμαία, Wesseling. ad Herodot. 2, 125. etc.

1186. λαβάς. ὠτάρια τοῖς κράνεσιν, ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὠτα αὐτοῦ, καὶ ἔστι παρεπιγραφή. S.

1189. Ἀττικῶς εἶπε τούτῳ ὤν. ἀντὶ τοῦ παρὰ τούτου ὤν. S.

1191. χάρ. palos, ridicas, vel pedamenta, quibus fulcitur vitis. *Ex Fl. Chr.*

1193. cf. annot. ad 1089.

1194. οὐρ. *micturi*, antequam canant, vel prae timore, ne cantus sibi parum succedat, vel potius jam ipsi quoque appoti, ut patres.

1195. ἅττ' ᾄσ. τὸ ἐξῆς· δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηταί τινα μέλη ᾄσαι καὶ προμελετῆσαι. S. referendum igitur δεῦρο ad ἐξέρχεται, ut monuit B.

1198. οὐδὲν ἀστειότερον τῆς εὑρέσεως. δύο γὰρ δῆθεν ἴστησι παιδία ᾄδοντα, ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίσαι, καὶ διαβαλεῖν τὸν μὲν ὡς φιλοπόλεμον ὄντα, τὸν δὲ ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸ τοῦ φιλοπολέμου ᾆδον παιδίον, καὶ θέασαι ὡς πρόσφορα αὐτῷ περιέθηκε πράγματα. (senarius, qui forte excidisse videtur Scholiastae.) ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου. S. monet Br., non Antimachi esse perhiberi carmen epicum de Epigonis, sed Homeri, certe ap. illum, quisquis fuit, qui scripsit Certamen Homeri et Hesiodi, quod habetur inter opera Hesiodea. quanquam ne ille quidem id pro certo affir-

ὁπλοτέρους ᾄδον, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
1200 εἰρήνης οὔσης· ἀμαθὲς γ' εἶ καὶ κατάρατον.
Π. Α. Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.
ΤΡ. ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδας ἡμῖν;
Π. Α. Ἐνθάδ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.
1205 ΤΡ. ἀνδρῶν οἰμωγή; κλαύσει νὴ τὸν Διόνυσον,
οἰμωγὰς ᾄδον, καὶ ταύτας ὀμφαλοέσσας.
Π. Α. ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι, οἷστισι χαίρεις.
ΤΡ. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί·
Ἄριστον προτίθεντο καὶ ἅτθ' ἥδιστα πάσασθαι.
1210 Π. Α. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
ΤΡ. εἶεν, ἐκόρεσθεν τοῦ πολέμου, κᾆτ' ἤσθιον, ταῦτ' ᾄδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.
Π. Α. Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι.
ΤΡ. ἄσμενοι, οἶμαι.

mat, sed nonnullis ita videri ait, φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. legitur autem ibi: Νῦν αὖθ' ὁπλοτέρων ἀρχώμεθα, Μοῦσαι, cum scribendum sit, secundum Aristophanem, numero integro, N. α. ὁπλ. ἀνδρῶν ἀ., M. ceterum recte quidem hunc versum Br. abjudicare videtur ab Antimacho Colophonio, qui paulo seriore tempore floruit ad finem vergentis belli Pelop.; sed esse narrat B., qui ab hoc antiquiorem quendam distinguant Antimachum Teium, de quo vidd. Fabric. et Harles. Bibl. gr. 2. p. 104. sequ. utut res haec sese habet, illud dubium non est, versum esse poëtae alicujus antiquissimi. — ὁπλοτ. παρὰ τὸ ὅπλον παίζει. S.

1201. similiter Hom. Il. 4, 446. et 8, 60. οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, Σύν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα καὶ μένε' ἀνδρῶν Χαλκεοθωρήκων· ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι Ἔπληντ' ἀλλήλησι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. annotavit Br.

1208. etiam haec ex variis locis verbisque Homericis composita esse monuit B. τὰ τοιαυτί. quae dicturus est.

1211. ἔκλυον. ἀπέλυον, ἐξέλυον. S.

1214. Θωρ. ἀντὶ τοῦ ἔπινον, παρὰ τὸ εἰς τὸν θώρακα (intell. corporis) πέμπειν τὸν οἶνον. S. θωρήσσεσθαι et *thoracem induere* significat, et *inebriari*, propter ambiguitatem verbi θώραξ. Br.: „Ex hac ambiguitate," inquit, „petitus est lepidus jocus in Ach. 1135. ubi, quum Lamachus sibi thora-

1215 Π.Α. Πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ΤΡ. κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις· i. tr.
οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;
304 Π.Α. ἐγώ;
ΤΡ. σὺ μέντοι, νὴ Δί'.
Π.Α. υἱὸς Λαμάχου.
ΤΡ. αἰβοῖ!
1220 ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης hex. her.
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπερρε, καὶ τοῖς λογχοφόροισιν ᾄδ' ἰόν. i. tr.
ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;
ᾄσον, πρὶν εἰσιέναι, τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
1225 οὐ πράγματ' ᾄσει· σώφρονος γὰρ εἶ πατρός.
Π.Β. Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ, hex. her.
ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων. pent. eleg.

cum adferri jussisset dixissetque: ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι, congium Dicaeopolis sibi dari jubet aitque: ἐν τῷδε πρὸς τοὺς ξυμπότας θωρήξομαι. hic vero puer cum dixisset, heroas facto edendi fine (πεπαυμένους) θωρήξασθαι, intelligit Tryg., majoribus eos sese poculis invitasse, ideoque addit: ἄσμενοι, οἶμαι."

1216. αὐτ. μάχαις. σὺν αὐτ. μάχ.

1217. τοῦ — εἶ; vim particulae καὶ ita interpositae, ut reddi possit *praeterea*, illustravit copiose Porson. ad Eurip. Phoen. 1373. B.

1221. vi etymologiae idem βουλόμαχος et λάμαχος: nam λῆς est βούλει, *vis*. κλαυσίμαχον autem Lamachum vocat, quasi fleturum, quia jam belligerare non possit. ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος, inquit supra v. 304. *Be*.

1225. οὐ πρ. ᾄσει dixit joco inexpectato. usitatum est πράγματα παρέχειν, *molestiam exhibere*. Voss.: *Nicht* Händel *singst du*.

1226. distichon est Archilochi, quod extat ap. Strab., Plut., Sext. Empir. male vulgo legitur ἐντός, tanquam si adverbium esset. scribi debuit ἔντος, quod nomen singulari parum usitatum, plurale ἔντεα ap. quosvis poëtas frequens. *Br*. id Reiskius quoque animadvertit. „Notum est, Archilochum in pugna contra Saïos, Thraciae gentem, id perpetrasse, quod in elegia sua satis testatur." (h. e. clypeum abjecisse.) *Ex Fl. Chr.* vixit Archil., poëta celeberrimus, ab olympiade 16. ad 25., quod tempus congruit annis ante Chr. nat. 715. et 679. ejus reliquias optime edidit Libelius Lips. 1812.

1228. πόσθων. ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. — S. a πόσθη, praeputium, penis. Photius, a Br. laudatus, p. 329. ed. Herm: πόσθων κυρίως (fort. ἀκύρως, *improprie*,) λέγεται παιδάριον. οὕτω γὰρ ὑποκοριζόμενοι ἔλεγον ἀπὸ τοῦ αἰδοίου etc.

ΤΡ. εἰπέ μοι, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις; hex. her.

Π.Β. Ψυχὴν δ' ἐξεσάωσα...

ΤΡ. κατήσχυνας δὲ τοκήων.

1230 ἀλλ' εἰσίωμεν· εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς, i. tr.
ὅτι ταῦθ', ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος,
οὐ μὴ 'πιλάθῃ πότ', ὧν ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων i. t. c. στ.
φλᾷν ταῦτα πάντα καὶ σποδεῖν, καὶ μὴ κενὰς παρέλκειν,

1235 ἀλλ' ἀνδρικῶς ἐμβάλλετον, i. d.
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν· οὐδὲν γὰρ, ὦ πόνηροι, i. t. c.
5 λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται.

ΧΟ. ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων. ἀντ.

ΤΡ. ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγώων,

1240 ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἐστὶν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
5 πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημὶ μεταμελήσειν.

1234. φλᾷν de esu etiam Plut. 689. κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων. Nub. 1380. itidem junxit φλᾷν et σποδεῖν, sed non de esu, κἄπειτ' ἔφλα με κἀσπόδει. Be. Phot., monente B.: φλᾷν, μαλάττειν, ἀναμαλάττειν. σποδεῖν ridicule dictum videtur p. παίειν, concidere dentibus, h. e. comminuere.

1234. κενὰς κύλικας, quemadmodum, annotante Be., Antiphanes ap. Athen. 10. p. 446. πίθι οὖν, ὦ ἑταῖρε, καὶ μὴ μεστὰς ἀεὶ ἕλκωμεν. παρὰ in παρέλκειν vitium actionis significat, ut qua nihil efficiatur, inanibus scil. poculis. nam ἕλκειν etiam h. l. est bibere, ut passim.

1236. σμώχετε Suid. h. v., Rav. σμόχετε pro eodem. olim legebatur σμήχετε, sed recte, nisi fallor, Br. et ab eo editores σμώχετε. „Lennep. Etym. p. 674. verbum σμώχω, mandendi significatione usurpatum, a μόω, i. e. μάω, μάσσω, derivat. Phot. et Hesych. interpretantur μετὰ σπουδῆς ἐνεργεῖν. alias est atterere, terendo purgare." B. πόνηροι, laboriosi, aerumnosi. cf. 263., 378. etc.

1237. ἔργον ἔστ', opus est, usus est. cf. Plut. 1150.

1241. πλαν. ἐρ. ὑμῖν. Fl. Chr.: nam nec licet totos dies Frui placentis dulcibus deserta pervagantes. descriptio haec est vitae agricolarum.

1242. βρύκειν est λάβρως ἐσθίειν. Hipponax: καὶ λάγως καταβρύκων. Fl. Chr. cf., monente Be., Eurip. Cycl. 345. Eubulus Com. ap. Athen. 13. p. 572. καὶ τῶν κρεῶν ἀπέβρυκον αἰσχρῶς.

εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν, a. Arist. ἐπίῤῥ·
δᾷδάς τε φέρειν, καὶ πάντα λεῶν ξυγχαίρειν, κἀπικελεύειν,
1245 καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχησαμένους καὶ σπείσαντας, καὶ Ὑπέρβολον ἐξελάσαντας·
κἀπευξαμένους τοῖσι θεοῖσιν a. d.
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
1250 πάντας ὁμοίως, οἶνόν τε πολὺν,
σῦκά τε τρώγειν· a.
τάς τε γυναῖκας τίκτειν ἡμῖν· a. d.
καὶ τἀγαθὰ πάνθ', ὅσ' ἀπωλέσαμεν,
ξυλλέξασθαι πάλιν ἐξ ἀρχῆς·
1255 λῆξαι δ' αἴθωνα σίδηρον.
θεῦρ', ὦ γύναι, εἰς ἀγρὸν, χἄπως μετ' ἐμοῦ καλῇ καλῶς κατακείσει. as., 2 ion.
a ma. d, c. et sim. br. στ. ά.
Ὑμὴν, Ὑμέναι', ὦ! ion. a ma. d. br.
ΧΟ. ὦ τρισμάκαρ, ὡς δικαίως τἀγαθὰ νῦν ἔχεις. Ὑμὴν, Ὑμέναι', ὦ! ἀντ. ά.
Ὑμὴν, Ὑμέναι' ὦ!

1244. δᾷδας, faces nuptiales.
1246. de Hyperbolo cf. 656.
1256. haec strophica esse, nemo facile negaverit, sed strophica, qual a decent comoediam, quae est tragoediae velut perpetua παρῳδία. risum debuisset Tragicus, si strophas propinasset auditoribus duobus versibus constantes, epodum uno, eumque non in fine positum stropharum, sed mediis insertum. contra haec quo magis ridicula sunt atque inusitata, nec tamen aut ratione aut lepore carentia, eo magis Aristophaneo congruunt ingenio. nihil autem in hisce mutatum a nobis est, nisi quod inutiliter repetita verba Ὑμὴν Ὑμέναι' ὦ delevimus 1257. et 1270., versibus autem 1260., 1262., 1268., 1271. adscripsimus Trygaei nomen, et contra Chori versibus 1266. et 1269., secus atque adhuc factum est, cum inepte Chorus tantum diceret τρυγήσομεν αὐτὴν, Oporam, in quam nullum ipsi jus, sed Trygaeo sponso, qui ipso verbo illo significatur; nec minus inepte Trygaeus Choro acclamaret οἰκήσετε — συκολογοῦντες, qui ipse jam quiete habitaturus sit cum uxore in paternis ruribus, etc. scribitur quoque Ὑμέναι' ὦ contra morem in hoc genere. denique de versibus τρικώλοις, quales sunt 1256., 1258., 1264., 1266., dictum ad 757.

1260 ΤΡ. τί δράσομεν αὐτήν; ion, a ma. d. br, στ. β'.
ΧΟ. τί δράσομεν αὐτήν;
ΤΡ. τρυγήσομεν αὐτήν. ἀντ.
ΧΟ. τρυγήσομεν αὐτήν.
ἀλλ' ἀράμενοι φέρωμεν οἱ προτεταγμένοι τὸν νυμφίον, ὦ ἄνδρες! as., 2 ion. a ma. d. c. et sim. br. στ. γ'.
1265 Ὑμὴν, Ὑμέναι', ὦ! Ὑμὴν, Ὑμέναι', ὦ! as., 2 ion. a ma. d. br.
οἰκήσετε γοῦν καλῶς, οὐ πράγματ' ἔχοντες, ἀλλὰ συκολογοῦντες. ἀντ. γ'.
Ὑμὴν, Ὑμέναι', ὦ! Ὑμὴν, Ὑμέναι', ὦ!
ΤΡ. τοῦ μὲν μέγα καὶ παχὺ, τῆς δ' ἡδὺ τὸ σῦκον. as., ion. a ma. d. c. et sim. br. ἐπ.
ΧΟ. φήσεις γ', ὅταν ἐσθίῃς, οἶνόν τε πίῃς πολύν. as., 2 ion. a ma. d. c. στ.
1270 Ὑμὴν, Ὑμέναι', ὦ! ion. a ma. d. br.
ΤΡ. ὦ χαίρετε, χαίρετ', ἄνδρες, κἂν ξυνέπησθέ μοι, ἀντ.
πλακοῦντας ἔδεσθε.

1262. τρυγήσομεν figurate dictum est in oratione Trygaei, ubi persona intelligitur; proprie in Chori, ubi res, ὀπώρα, luditque hoc nomine etiam alibi poëta.

1266. πράγματα, *molestias*.
1268. τοῦ, *sponsi*, τῆς, *sponsae*. utriusque σῦκον quale dicant agricolae, non est difficile intellectu.
1272. πλακ. cf. 829.

This book should be returned to the Library on or before the last date stamped below.

A fine of five cents a day is incurred by retaining it beyond the specified time.

Please return promptly.

DUE JUL 2 '40

Ga 110.449.90
(Aristophanis) Pax;
Widener Library 002797970
3 2044 085 090 900